C^a unter *ΣΧ ⲱ ΙΩ*; vgl. *Π* 16, 5f. Im cod. Coisl. 206 steht zu dem Stück *ἵνα δὲ μὴ — τοῦ προφήτου* (= *Π* 16, 5f) i. m. ein ⲱ, aber auch ein *ὠριγ^ε*. Tatsächlich ist es Chrysostomus hom. 9 p. 133 BC

34.

Matth. 2, 18

Ἡ Ῥαμὰ τόπος ἦν τῆς Παλαιστίνης ὑψηλός (τοῦτο γὰρ τὸ ὄνομα σημαίνει· ὑψηλόν), ἔλαχε δὲ εἰς κλῆρον τῇ φυλῇ τοῦ Βενιαμίν, ὃς ἦν τῆς Ῥαχὴλ υἱός· ἡ δὲ Ῥαχὴλ ἐν τῇ Βηθλεὲμ ἐτάφη. λέγει τοίνυν τὴν Βηθλεὲμ ὁ προφήτης Ῥαχήλ (ἐν αὐτῇ γὰρ ἐτάφη ἐκείνη), τὸν δὲ κλαυθμὸν καὶ τὸν θρῆνον ἀκουσθῆναι ἐν τῇ ΥΨΗΛΗΙ.

C^b = Theophyl. 169 C

*Ῥαμὰ σημαίνει τόπον ὑψηλόν, ὅθεν ἔν τισι τῶν ἀντιγράφων τοῦ προφήτου γέγραπται· »φωνὴ ἐν τῇ ὑψηλῇ ἠκούσθη« καὶ τὰ ἑξῆς. καὶ ἔστιν ὁ τῆς Ῥαχὴλ τάφος κατὰ τὸν Ἱππόδρομον περὶ τὴν Βηθλεέμ· διὸ Ῥαχὴλ λέγεται κεκλαυκέναι τὰ τέκνα αὐτῆς· *** οἱ ἐν τῷ τόπῳ τῆς Ῥαχήλ, οἵτινες οὐδὲ παρακληθῆναι ἤθελον ἐπὶ τοῖς τέκνοις αὐτῶν, ὡς οὐκ εἰσίν· οὐδέπω γὰρ ἦσαν μεμαθηκότες ἀπὸ τοῦ ἐναργῶς παραστῆσαι δυναμένου τῇ αὐτοῦ ἀναστάσει τὴν ἀνάστασιν τῶν νεκρῶν, ὅτι εἰσὶν οἱ νομιζόμενοι τοῖς κλαίουσι καὶ ὀδυρομένοις μὴ εἶναι.*

C^a C^c 1. 2. 3; vgl. *Π* 16, 8—13

Τόπον ὑψηλὸν σημαίνει τὸ Ῥαμά. διὸ καὶ ἔν τισι τῶν ἀντιγράφων βιβλίων οὕτω γέγραπται· »ἐν τῇ ὑψηλῇ ἠκούσθη«.

C^p

1ff Vgl. Hier. in Matth. 16 B: *Rama excelsum interpretatur, ut sit sensus: vox in excelso audita est.* S. Wutz Onom. sacra 700 — 5 Jer. 38, 15 — 8ff Vgl. *N* 56 — 8 Zu *Ἱππόδρομον* vgl. Gen. 35, 19 var. lect. — 13 Zu *θρῆνον* vgl. Matth. 2, 18 var. lect. — 17ff Vgl. Hier. in Matth. 16 B: *sive quod eos in aeternum mortuos aestimaret*

12 Lücke Diehl Kl, vgl. *Π* 16, 11 *κλαίουσι δ'* (*ἐπὶ τέκνοις κτλ.*)

35.

Matth. 2, 18

Ἡ Ῥαχὴλ εἰς τύπον τῆς ἐκκλησίας τῆς κάτω καὶ τῆς ἄνω τηρεῖται, εἰπεῖν δὲ μᾶλλον θεωρεῖται.

C^c 1. 2. 3

36.
Matth. 2, 23

Τοῦτο οὐχ εὑρίσκεται λεχθέν. εἰ δὲ ἴσον ἐστὶ τῷ ἡγιασμένῳ, πολλοὶ προφῆται εἰρήκασι Χριστὸν ναζωραῖον τουτέστιν ΑΓΙΟΝ. καὶ γὰρ τοὺς ΗΓΙΑΣΜΕΝΟΥΣ ἔθος τῇ γραφῇ καλεῖν ναζωραίους.

C^a; vgl. *Π* 17, 14—18,4, sachverwandt ein Chrysostomus-Scholion C^p 34, vgl. Wutz, Onom. sacra 377

1 ff Vgl. Orig. III 271, 26 ff. Hier. in Matth. 17 B: *pluraliter prophetas vocans ostendit se non verba de scripturis sumpsisse sed sensum: nazareus sanctus interpretatur; sanctum autem dominum futurum omnis scriptura commemorat*

37.
Matth. 3, 2

Τὸ τῆς ἐπαγγελίας εἶδος σφόδρα ἐπαγωγὸν ἦν καὶ παραπεῖσαι δυνάμενον μετὰ πολλῆς αὐτῷ προσελθόντας σπουδῆς, ἀφ' οὗ παντελῆ τῶν ἁμαρτημάτων λαμβάνειν τὴν συγχώρησιν ἔμελλον.

C^a? inc. *ἄλλος δέ φησιν*; aber nachher i. m. ιβ: möglich bleibt jedoch, daß dies ιβ etwas zu hoch steht, und in Wirklichkeit zu Nr. 38 I gehört

38 I.
Matth. 3, 2

Βασιλείαν δὲ αὐτοῦ ἐνταῦθα τὴν παρουσίαν αὐτοῦ τήν τε προτέραν τήν τε ἐσχάτην φησί. βασιλεία δὲ θεοῦ, ὥς φησιν Ὠριγένης, αὐτὸς ἂν εἴη ὁ Χριστός, ἑκάστου τῶν ἐν τῇ ἐπινοίᾳ αὐτοῦ λαμβανομένων οἷον σοφίας λόγων ἀληθείας ὄντος οὐρανοῦ μὴ παρερχομένου μηδὲ ἀπολλυμένου.

C^a (dazu i. m. etwas höher ιβ, s. zu Nr. 37)

2 ff Vgl. Nr. 38 II. 75. 226 — 4 Vgl. Matth. 24, 35

4 l. *λόγου*? Kl, vgl. Nr. 38 II

38 II.

Matth. 3, 2

Πρῶτον Ἰωάννην εὑρίσκομεν ὀνομάζοντα βασιλείαν οὐρανῶν, ἥτις ἦν ὁ Χριστός.

Βασιλεία οὐρανῶν αὐτὸς ἂν εἴη ὁ Χριστός, ἑκάστου τῶν ἐν ἐπινοίᾳ αὐτοῦ λαμβανομένων ἰδίων (σοφίας, λόγου, ἀληθείας) ὄντος οὐρανοῦ μὴ παρερχομένου μηδὲ ἀπολλυμένου. ἢ ἡ παρουσία αὐτοῦ· αὕτη γὰρ ἡμῖν χαρίζεται τὴν τοῦ πνεύματος μετάληψιν καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον καὶ τὸ εἰς ἀγαθὸν τοῖς ἁγίοις ἐν τῷ ἐσομένῳ αἰῶνι ἄτρεπτον.

C[c] 1. 2. 3 C[1c]; vgl. *B* (Cramer I 286, 26 Matthaei I 22, 18—21) *Π* 18, 9ff

C[1a] 2. 3 C[1b] 2. 3. 4 C[1c]

1f Vgl. Hier. in Matth. 17C: *primus Baptista Iohannes regnum caelorum praedicat* — 5 Vgl. Matth. 24, 35

1 *οὐρανῶν* C[c] *θεοῦ* C[1] 3 *ἰδίων*] *δι' ὧν* C[1a] 2 C[1c] 4 *ὄντος* — 6 *ἢ*] *μεταλαμβάνομεν. ἡ βασιλεία ἐστὶν οὐρανῶν* C[1c]

39.

Matth. 3, 4

Ὡς ἀρχιερεὺς μὲν ὑπὲρ ἀνθρώπων Ἰησοῦς »ὁ αἴρων« οὐ μόνον »τὴν ἁμαρτίαν« τοῦ λαοῦ ἀλλὰ καὶ ὅλου »τοῦ κόσμου« ἱμάτια ἐνεδέδυτο ῥυπαρά, ὥς Ζαχαρίας φησίν. ὡς ἱερεὺς δὲ Ἰωάννης διὰ τὴν σκολιότητα τῶν καμήλους καταπινόντων καὶ πεποιωμένων κατὰ ταύτας ἐνεδέδυτο, ἀποδυσαμένων τὸ ἐξ ἀμνοῦ ἱμάτιον ἔνδυμα Χριστοῦ. καὶ ὡς πενθῶν Ἰακὼβ τὸν Ἰωσὴφ »ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφύν«, οὕτω πενθῶν τόν τε καρπὸν τῆς ὀσφύος

C[a] (mit Nr. 41 in einem Stück); zu Z. 5—9 vgl. *Π* 20, 4—8, vgl. auch *B* (Matthaei I 7, 2—5), zu Z. 5—8 *N*

1 Vgl. Hebr. 3, 1 — 1ff Vgl. Joh. 1, 29 — 3 Vgl. Zach. 3, 3 — 3f Vgl. Matth. 23, 24 — 4 Vgl. Matth. 7, 15? — 6f Vgl. Gen. 37, 34

6 *οὕτω* + *καὶ ὁ Ἰωάννης ΠΝ* | *τὸν τότε N*

Ἰσραὴλ καὶ τὴν νέκρωσιν τῶν γεννητικῶν τῆς ψυχῆς τῇ περιθέσει τοῦ νεκροῦ δέρματος ἐνέκρου τὴν ὀσφύν. εἰ δέ, καθὸ »αὐτός ἐστιν Ἡλίας«, ὅπερ κἀκεῖνος περιέζωστο, κἀκεῖνος ἐπένθει τὸν λαὸν »ζηλῶν« κυρίῳ.

7ff Vgl. Hier. in Matth. 18 A: *zona autem pellicia, qua accinctus fuit et Helias, mortificationis σύμβολον est* — 8 Vgl. Matth. 11, 14 — 9 Vgl. III. Regn. 19, 10

9 l. ⟨ὡς⟩ *κἀκεῖνος*² ? Kl, vgl. Orig. tom. VI, 22 in Joh. (Or. IV 132, 17f): *διόπερ ἐπιπλήσσονται ὑπὸ τοῦ τὸν ζῆλον Ἠλίου . . . ἔχοντος Ἰωάννου.*

40.

Matth. 3, 4

Τρίχες γὰρ καμήλου λαμβάνονται εἰς σκληραγωγίαν ἀρετῆς.

C[1a] 2. 3 C[1b] 2. 3. 4 C[1c]; vgl. Chrysostomus hom. 10 p. 145 A (*σκληραγωγίαν ἅπασαν μελετᾶν· ὅπερ οὖν καὶ αὐτὸ μέγιστον ἀρετῆς ἐγκώμιον εἶναί φησιν*) ?

41.

Matth. 3, 4

Ἤσθιεν δὲ καὶ ἀκρίδας μέν, ἐπεὶ καὶ ὁ λαὸς ἐτρέφετο λόγῳ δοκοῦντι μὲν μετεωροπόρῳ οὐ βεβηκότι δὲ ἐπὶ πτερῶν οὐδὲ ὑπερβαίνοντι τὴν γῆν, μέλι δὲ τὸ ὑπ᾽ ἀνθρώπων ἀγεώργητον, ἐπεὶ τὸ γενόμενον ὑπὸ νόμου καὶ προφητῶν μέλι οὐδ᾽ ἐγεώργουν μὴ ἐξετάζοντες τὸ βούλημα αὐτῶν μηδὲ ἐρευνῶντες τὰς γραφάς.

C[a] C[1b] 4; *Π* 20, 11—21, 5; auch *B* (Matthaei I 7 ? Cramer I 269, 9ff). Dagegen in C[1a] 3 unter Severus

Ἤσθιεν ἀκρίδας διὰ τὸ τὸν λαὸν τρέφεσθαι λόγῳ ὑψηλῷ μὲν καὶ μετεώρῳ οὐ μὴν βεβαίῳ οὐδ᾽ ἀπὸ τῆς γῆς αἰρομένῳ. μέλι δὲ ἄγριον τὸ μὴ γεωργούμενον ὑπ᾽ ἀνθρώπων λέγει, καθάπερ ὁ νόμος ὑπὸ τῶν Ἰουδαίων· ἔχοντες γὰρ αὐτὸν οὐκ ἐγεώργουν τὸν λόγον μὴ ἐξετάζοντες αὐτὸν μηδ᾽ ἐρευνῶντες τὰς γραφάς, ὥς φησιν ὁ Χριστός.

C[p]

1ff Vgl. Orig. IX 81, 20ff. Hier. de princ. Marci (Anecd. Maredsol. III, 2, 323): *neque enim a terra satis tollitur . . . cum a terra se paululum elevaverit, iterum pennis deficientibus cadit in terram* — 9f Vgl. Joh. 5, 39

1 *μὲν*] *καὶ μέλι ἄγριον. καὶ οἱ μέν φασι τὰ τῶν ἀκροδρύων ἀκρίσματα* (sic) *καὶ μέλι ἄγριον* (*τὴν βοτάνην Π*) *ἢ τὸ ἐν ἀγρίοις τόποις εὑρισκόμενον μέλι ἤτοι τὸ κηρίον ἀγεώργητον ὄν. τινὲς δὲ ἀκρίδας τὰ ζῷά φασιν* C[1b] 4 *Π* 10 *γραφάς*] hier Schluß in C[a] ? + *καὶ ἐπεὶ τὸ ἥμερον μέλι ἐτηρεῖτο Χριστῷ* C[1b] 4 *Π*

42.

Matth. 3, 5. 6

Εἰ καὶ ἐβαπτίζοντο, ἀλλ᾿ οὖν »ἄφεσιν ἁμαρτιῶν« οὐκ εἶχε τὸ Ἰωάννου βάπτισμα, ἀλλὰ μόνην μετάνοιαν ἐκήρυττεν Ἰωάννης καὶ »εἰς ἄφεσιν ἁμαρτιῶν« ἔφερεν· ἀντὶ τοῦ εἰς τὸ τοῦ Χριστοῦ βάπτισμα ὡδήγει, παρ᾿ οὗ ἡ ἄφεσις τῶν ἁμαρτημάτων.

C^{b} = Theophyl. 173 C; Sachparallele Chrysostomus hom. 10 p. 140 D 141 C

1ff Vgl. Marc. 1, 4

43.

Matth. 3, 5. 6

Ἐπειδὴ »λύχνος« Ἰωάννης ὑπάρχει καὶ οὐ »φῶς τοῦ κόσμου«, οὐκ ἐκπορεύονται πρὸς αὐτὸν »πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι« ταῖς ἁμαρτίαις οἱ καλούμενοι ὑπὸ τοῦ Ἰησοῦ, μόνοι δὲ οἱ ἀπὸ τῶν προκειμένων τόπων βαπτιζόμενοι »εἰς μετάνοιαν« ἐν τῷ τοῦ Ἰορδάνου ὕδατι (ὃς ἦν ΚΑΤΑΒΑΣΙΣ ΑΥΤΩΝ) καὶ δεόμενοι τοῦ ἁγίου πνεύματος.

C^{la} 2. 3 C^{lb} 2. 3 C^{lc}; der Anfang in C^{n} unter *Χρυσοστόμου*

1 Vgl. Joh. 5, 35 — Joh. 8, 12 u. ö. — 2 Matth. 11, 28 — 4 Vgl. Matth. 3, 11 — Vgl. Wutz Onom. sacra 432 — 5 Vgl. Matth. 3, 11

44.

Matth. 3, 7

[Γεννήματα ἐχιδνῶν ἐκάλεσε τοὺς φιληδόνους καὶ γαστρὶ καὶ αἰδοίοις δουλεύοντας καὶ τὰς ἀλλήλων διὰ τὰς κοσμικὰς ἐπιθυμίας ἀποτέμνοντας κεφαλάς.]

C^{a}; es ist jedoch Clemens Alex. Strom. IV 100, 3 (Cl. Al. II 292, 21—24)

Τὸ γεννήματα ἐχιδνῶν δηλοῖ τὴν ἕξιν τῆς κακίας.

C^{la} 2. 3 C^{lc}

1ff Zu den drei Kolumnen vgl. Lauchert, Geschichte d. Physiologus 241 und Heinrici z. St.

φασὶ γὰρ τὴν ἔχιδναν ἐν τῷ συλλαμβάνειν ἀναιρεῖν τὸν ἐξ οὗ συλλαμβάνει ἄρρενα, οὗ ἡ σπορὰ αὐξάνουσα τὴν συλλαβοῦσαν ἀναιρεῖ καὶ οὕτως ἀπεξέρχεται·	Φασὶ δὲ τὴν ἔχιδναν ἐν τῷ συλλαμβάνειν ἀναιρεῖν τὸν ἐξ οὗ συλλαμβάνει ἄρρενα, οὗ ἡ σπορὰ αὐξάνουσα τὴν συλλαβοῦσαν ἀναιρεῖ καὶ οὕτως εἰς φῶς ἐξέρχεται διαρρήξασα τῆς μητρὸς τὴν γαστέρα, ποινὴν ὥσπερ τοῦ διαφθαρέντος πατρός·
πατραλῴαν οὖν καὶ μητραλῴαν τῆς ἐχίδνης τὸ γέννημα.	πατραλῴαν οὖν καὶ μητραλῴαν τῆς ἐχίδνης τὸ γέννημα.
	[τοιοῦτοι καὶ οἱ Ἰουδαῖοι τοὺς πνευματικοὺς αὐτῶν πατέρας καὶ διδασκάλους διαφθείροντες χερσίν.]
	C^{luc} vgl. Or. IX 146, 4—15; der Schluß berührt sich stark mit Chrysostomus hom. 11 p. 150 D

45.

Matth. 3, 9

Εἰ ἐκ τῶν λίθων δίδονται τέκνα τῷ Ἀβραάμ, οὐ τῇ ἕξει τῆς σαρκός ἐστι πατήρ, ἀλλὰ τῇ ἕξει τῆς ἀρετῆς ὁ λαὸς τοῦ θεοῦ χρηματίζει πατέρα ἔχων τὸν Ἀβραάμ. καὶ πῶς ἢ διὰ τί, ζήτει.

C^{lb} 2. 3. 4. 5 C^{lc}

46.

Matth. 3, 9

Οἱ λίθοι λαμβάνονται εἰς στεῖραν καὶ εἰς τὴν εἰδωλολατρείαν τῶν ἐθνῶν. πρὸς τούτοις θεώρει καὶ τὴν πεπηγυῖαν ὡς λίθον καρδίαν τοῦ δράκοντος.

C^{la} 2 C^{lb} 5 C^{lc}; dagegen C^{lb} 2. 3 unter *Κυρίλλου*

1 Vgl. Jes. 51, 1f — 1f Vgl. Deut. 29, 17 u. ö. — 2f Vgl. Job 41, 15

47.

Matth. 3, 10

Τὸ πῦρ καθαρίζει, φωτίζει καὶ ἄλλα πολλὰ ἐνεργεῖ. φασὶ δὲ καὶ ὅτι ἡ ἀγάπη πῦρ ὀνομάζεται. καὶ τοῦτο θεώρει, μεθ᾽ οὗ συνεργεῖ.

C[la] 3; vgl. Heinrici 23 App. Z. 11

48.

Matth. 3, 11

Τὸ σάρκα ἀναλαβεῖν τὸν υἱὸν τοῦ θεοῦ καὶ εἰς ᾅδου κατελθεῖν ὑποδή-ματα δύο, ὧν τὸν λόγον ὁ νοήσας καὶ φέρων τῇ μνήμῃ βαστάζει αὐτόν, μεῖζόν τι ἔχων τοῦ »λῦσαι«. ὁ δὲ ἄρα τὸν περὶ τοῦ ἐνδύματος Χριστοῦ, τοῦ ἀρράφου χιτῶνος καὶ ὑφαντοῦ »δι᾽ ὅλου«, νοητῶς βαστάζων μείζων ἐστίν.

C[a] (inc. *ἕτερός φησιν*; i. m. ϖ); vgl. dazu: Orig. tom. VII 35 in Joh. (Or. IV 144, 5ff, auch IX 159, 14ff), s. auch *B* (Cramer I 269, 26ff Matthaei I 8, 5f)

3 Vgl. Marc. 1, 7 Luc. 3, 16 — **4** Vgl. Joh. 19, 23

49.

Matth. 3, 11

Τουτέστι κατακλύσει ὑμᾶς ἀφθόνως ταῖς τοῦ πνεύματος χάρισιν· ἐπεὶ τὸ μὲν ἐμὸν (φησὶ) βάπτισμα οὐ δίδωσι πνευματικήν τινα χάριν· οὐδὲ γὰρ τὴν »ἄφεσιν ἁμαρτιῶν«. αὐτὸς δὲ ἀφήσει ὑμῖν καὶ πνεῦμα δαψιλῶς δώσει.

C[b] = Theophyl. 176 D; Sachparallele Chrysostomus hom. 11 p. 154 AC ?

3 Vgl. Marc. 1, 4

3 *τὴν* Theophyl. *οὐδὲ* C[b]

50.

Matth. 3, 12

Τουτέστι τὴν ἐκκλησίαν, ἥτις πολλοὺς μὲν ἔχει βεβαπτισμένους, ὥσπερ ἐν τῇ ἅλωνι πᾶν τὸ γεώργιον· ἀλλ᾽ ἐν τούτοις οἱ μέν εἰσιν ἄχυρα, ὅσοι κοῦφοι καὶ τοῖς πνεύμασι »τῆς πονηρίας« παρακινούμενοι, οἱ δὲ σῖτος, ὅσοι καὶ ἑτέρους ὠφελοῦσι καὶ τρέφουσι διὰ διδασκαλίας καὶ πράξεως.

C[b] = Theophyl. 176 D; zu Z. 1f. Sachparallele bei *N* 81

3 Vgl. Eph. 6, 12

51.
Matth. 3, 12

Πτύον δὲ διάκρισις ἀγαθῶν ἀπὸ κακῶν, πῶς δέ ἐστιν ἐν χειρί, ζήτει. σῖτος δὲ τῶν δικαίων αἱ ψυχαί, ἀποθῆκαι δὲ τούτων οἱ οὐράνιοι τόποι, τὸ δὲ ἄχυρον βασανίσεις.

C^{1a} 2. 3 C^{1b} 5, dagegen C^{1c} unter *ἐξ Ἀνεπιγράφου.* Zu Z. 1 Sachparallele Chrysostomus hom. 11 p. 156 B und Cramer I 24, 10—13

1 *πῶς — ζήτει* < C^{1a} 3 C^{1c} 2 *σῖτος* — 3 *βασανίσεις* in C^{1a} 2 C^{1b} 5 als neues Scholion ohne Namen angeschlossen

3 l. *βασανίσει?* Kl

52.
Matth. 3, 13

Ἔργῳ ἔδειξεν ὁ Ἰησοῦς »πραΰς« ὢν »καὶ ταπεινὸς τῇ καρδίᾳ« πρὸς ἥττονα ἐλθών, ἀκόλουθα ποιῶν τοῦ ταπεινῶσαι ἑαυτὸν καὶ γενέσθαι ὑπήκοον »μέχρι θανάτου«. οὐ κρείσσων δὲ ἀεὶ ὁ βαπτίζων τοῦ βαπτιζομένου· οὐδὲ γὰρ Ἀνανίας Παύλου, καὶ Φίλιππος μὲν ἐβάπτιζεν, Πέτρος δὲ διὰ χειρὸς ἐπιθέσεως ἐδίδου πνεῦμα ἅγιον.

C^{a}; Z. 3 *οὐ*—4 *Παύλου* in C^{1b} 1. 5 Schluß eines Scholions des Theodor von Mopsueste

1 Vgl. Matth. 11, 29 — 2f Vgl. Phil. 2, 8 — 4 Vgl. Acta 9, 17f — 4f Vgl. Acta 8, 12—17

53.
Matth. 3, 14

[Τὸ βάπτισμα Ἰωάννου »μετανοίας« ἦν καὶ ὁδὸς πρὸς τὸ τοῦ Χριστοῦ τέλειον βάπτισμα, οὐ μὴν »ἄφεσιν ἁμαρτιῶν« εἶχεν. ἐλθόντος δὲ τοῦ Χριστοῦ πρὸς τὸ τοῦ Ἰωάννου βάπτισμα ἐταράσσοντο πολλοί, νομίζοντες αὐτὸν μετανοίας ἕνεκεν βαπτίζεσθαι· καὶ τούτου χάριν ὁ πρόδρομος ἐκώλυεν αὐτὸν βαπτίζεσθαι ὑπ᾽ αὐτοῦ, καὶ διὰ τοῦτό φησιν· ἐγὼ τῆς τοιαύτης καθάρσεως τυγχάνω δεόμενος, ἀλλ᾽ οὐχὶ σύ· »ὁ« γὰρ »ἀμνὸς τοῦ θεοῦ ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου« πῶς ἂν εἴη τῆς τοιαύτης καθάρσεως δεόμενος;]

C^{p}: doch ähnelt der Anfang Chrysostomus hom. 12 p. 161 A (*ἐπειδὴ γὰρ τὸ βάπτισμα μετανοίας ἦν κτλ.*), vgl. auch 161 B, und ganz deutlich Chrysostomus ist das ausführlichere „Origenes"-Scholion im Coisl. 206 f. 14^{a}

1ff Vgl. Marc. 1, 4 — 6 Joh. 1, 29

54.
Matth. 3, 15

[*Καλῶς καὶ τὸ ἄρτι προσέθηκεν. οὐ γὰρ διηνεκῶς ἔσται ταῦτα. φησίν· ἔσται γὰρ καιρὸς καθ' ὃν διὰ πάντων δυνατὸν φανῆναί μου τὴν πρὸς σὲ ὑπεροχήν. εἶτα καὶ δείκνυσι, πῶς πρέπον, ὅτι τὸν νόμον πληροῦμεν ἅπαντα. ἐπεὶ οὖν πάσας τὰς ἄλλας ἐντολὰς ἠνύσαμεν, φησί, τοῦτο δὲ ὑπολέλειπται μόνον, δεῖ προσθεῖναι καὶ τοῦτο· καὶ γὰρ ἦλθον λῦσαι τὴν ἀρὰν τὴν ἐπὶ τῇ παραβάσει τοῦ νόμου κειμένην.*] *οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν (τὸ ἡμῖν ἀντὶ τοῦ ἐμοὶ καὶ σοί). τουτέστι παραχώρει τῇ σοφίᾳ τῆς οἰκονομίας καὶ ὑπούργει μόνον τὸ ἀπρόσιτον τῆς ἐμῆς θεότητος μὴ πτοούμενος, ἐπειδὴ προσιτός σοι γέγονα διὰ σαρκώσεως.*

C[la] 2. 3 C[lb] 1. 2. 3. 5 C[lc]; Z. 7 *τουτέστι* — 9 unter *Σευήρου* C[la] 2 C[lc], doch ist tatsächlich mindestens Z. 1 *καλῶς* — 6 *κειμένην* Exzerpt aus Chrysostomus hom. 12 p. 161 DE; zu Z. 7 vgl. *II* 25, 2

55.
Matth. 3, 15

Ὁ κατὰ νόμον τέλειος τὸ Ἰωάννου βάπτισμα βαπτιζόμενος εἰς τὸ τοῦ νόμου τέλος ἔφθασεν. διὸ καὶ ὁ Χριστὸς τέλειος ὢν ἐν νόμῳ ἐβαπτίσθη τὸ Ἰωάννου βάπτισμα· ὅθεν καὶ ἔλεγεν· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν.

C[lb] 3; in C[la] 2 C[lb] 2 w. e. sch. unter *Θεοδώρου Ἡρακλείας*

2 Vgl. Röm. 10, 4

56.
Matth. 3, 15. 16

Εἰ τοίνυν τῷ θεῷ πείθεσθαι δικαιοσύνη, ὁ δὲ θεὸς ἔπεμψεν τὸν Ἰωάννην ὥστε βαπτισθῆναι τὸν λαόν, μετὰ τῶν ἄλλων ἁπάντων τῶν νομικῶν καὶ τοῦτο ἐπλήρωσεν ὁ Χριστός. ἀλλὰ καὶ διὰ τὸ ἁγιάσαι τὰ ὕδατα ἡμῖν ἐβαπτίσθη. ἐν εἴδει δὲ περιστερᾶς τὸ πνεῦμα κάτεισιν, ἐπειδήπερ ὅπου καταλλαγὴ θεοῦ περιστερά, ὡς ἐπὶ τῆς κιβωτοῦ Νῶε· καὶ νῦν ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα ἔρχεται τὸν ἔλεον τοῦ θεοῦ καταγγέλλον τῇ οἰκουμένῃ. ἅμα δὲ καὶ δηλοῦν ὅτι τὸν πνευματικὸν ἀπόνηρον εἶναι χρὴ καὶ πρᾶον, ἁπλοῦν τε καὶ ἄδολον.

C[marc a], vgl. *B* (Cramer I 271, 10—19 Matthaei I 9, 14—10, 1)

3f Vgl. Luc. 3, 22 — 7f Bauer vergleicht Orig. hom. XXVII in Luc. (Or. IX 171, 8—11)

57.

Matth. 3, 16

Κατακλυσμοῦ λύσιν καὶ παλιγγενεσίαν τοῦ κάτω κόσμου φαίνεται ἡ περιστερὰ δηλοῦσα, ὡς ἥ ποτε· τῶν δευτέρων γὰρ εἰκόνα φέρει τὰ πρῶτα.

C^{1a} 2. 3 C^{1b} 1. 2. 3. 5 C^{1c}

58.

Matth. 3, 16. 17

Εἷς τῆς τριάδος ἐβαπτίσθη, εἷς ἐν »εἴδει« περιστερᾶς ὤφθη, εἷς ἄνωθεν ἐπεφώνει. τρεῖς οὖν ὑποστάσεις, μία δὲ οὐσία τῶν τριῶν.

C^{1b} 1. 5; Ähnliches in einem Scholion des Theodor von Mopsueste C^{1b} 1. 5

»Ἐν τῷ Ἰορδάνῃ ποταμῷ« πεφανέρωται τοῖς ἀνθρώποις ἡ τριάς. εἰ γὰρ ὁ πατὴρ ἐμαρτύρησε καὶ ὁ υἱὸς ἦν ὁ μαρτυρούμενος καὶ ὑποδεικνύον τὸ πνεῦμα τὸ ἅγιον, πῶς οὐ τριὰς ἡ θεότης;

C^{p}

1—5 Vgl. Hier. in Matth. 19 D: *mysterium trinitatis in baptismate demonstratur: dominus baptizatur, spiritus descendit in specie columbae, patris vox testimonium filio praebentis auditur.* Entsprechend zu Matth. 17, 5 in C^{n} 569 unter *Δαμασκηνοῦ*: *Ἐπισήμηναι ὅτι πρότερον μὲν ἐν Ἰορδάνῃ ἡ τριὰς ἐμαρτυρήθη τοῦ υἱοῦ βαπτιζομένου, πατρὸς ἄνωθεν μαρτυροῦντος, τοῦ πνεύματος ὡς περιστερὰ κατερχομένου κτλ.* — 1 Marc. 1, 5 — 2 Vgl. Luc. 3, 22

4 *μαρτυρούμενος* C^{p} *βαπτιζόμενος* C^{n} Hier. | *ὑποδεικνύον* + *τὸν μαρτυρούμενον* Theod. Mops.

59.

Matth. 3, 16. 17

[Εἰ δὲ ὄψει περιστερᾶς ἐφάνη τὸ πνεῦμα τὸ ἅγιον, χρὴ γινώσκειν ὅτι οὐ φύσιν περιστερᾶς ἀνέλαβε, καθὼς ὁ υἱὸς τοῦ θεοῦ φύσιν ἀνθρώπου· ὅθεν καὶ ὁ εὐαγγελιστὴς οὐκ εἶπεν ὅτι ἐν φύσει περιστερᾶς, ἀλλ' ἐν εἴδει περιστερᾶς. διὸ οὐδὲ ἐν τοιούτῳ σχήματι ὤφθη μετὰ ταῦτα. ἔμεινε δὲ ἐπὶ τὸν κύριον καὶ θεὸν Ἰησοῦν Χριστὸν τὸ πανάγιον πνεῦμα διὰ τὴν φωνὴν τὴν ἄνωθεν ἐνεχθεῖσαν, ἵνα μὴ νομίσωσιν αὐτὸν ὡς ἕνα τῶν πολλῶν εἶναι. τὴν δὲ φωνὴν περὶ Ἰωάννου ἐνεχθῆναι, καὶ γὰρ πολλῷ μείζονα αὐτοῦ τὸν Ἰωάννην ἐνόμιζον.]

C^{1c}; anonym bei Cramer I 24, 32—25, 7; es ist in der Tat aus zwei Stücken der 12. Chrysostomushomilie zusammengesetzt, p. 164 CD und 162 AB

3 Vgl. Luc. 3, 22 — 4 Vgl. Marc. 1, 10 var. lect. (*καὶ μένον*)

60.

Matth. 4, 1

Τὸ πνεῦμα τὸ ἅγιον ὑποφωνοῦν ἀνήγαγεν αὐτὸν εἰς τὴν ἔρημον, παρορμῶν αὐτὸν ἤδη καθελεῖν τοῦ διαβόλου τὴν μεγαλαυχίαν.

C^{la} 2. 3; dagegen C^{lb} 1 ausführlicher unter Severus (vgl. Heinrici 26 App.).

Ἀντὶ τοῦ· τὸ πνεῦμα προετρέπετο αὐτὸν ἐπὶ τὸν κατὰ τοῦ διαβόλου ἀγῶνα.

C^{lc} (unter *ωρ* oder *ωβ* ?), vgl. *Π* 26, 12 und Cramer I 25, 13 f

3 f Sachparallele auch Chrysostomus hom. 13 p. 167 E

61.

Matth. 4, 2

Ὁ γὰρ τῶν τεσσαράκοντα ἡμερῶν ἀριθμὸς ἐκ τεσσάρων δεκάδων συγκείμενος συγγενής ἐστι καὶ ταῖς τέσσαρσι μονάσι, τάχα διὰ τὸ ἐκ τεσσάρων στοιχείων συνεστάναι τὸν αἰσθητὸν κόσμον ἢ καὶ διὰ τὸ ἐν τεσσαράκοντα ἡμέραις ἐν τῇ νηδύι μορφοῦσθαι τὸν ἄνθρωπον.

καὶ ἵνα μὴ περαιτέρω νηστεύσας δῷ τινι ἔννοιαν ὅτι οὐκ ἀνέλαβε σάρκα κατὰ τὸ ἀληθές, πεινᾷ ὕστερον κατὰ πάντα κοινωνήσας ἡμῖν πλὴν »ἁμαρτίας« καὶ συμμετασχὼν ἡμῖν τῷ αὐτῷ παθήματι.

C^{a} C^{la} 2. 3 C^{lb} 1. 2 C^{lc}; dagegen C^{lb} 5 unter *Γρηγορίου Νύσης*. Das Ganze ähnlich zu Anfang eines Theodor-Scholions in C^{n}, Z. 13 *καὶ*—15 *ἀληθὲς* ähnlich Chrysostomus hom. 13 p. 169 B

Τεσσαράκοντα ἡμέρας ἐνήστευσεν ὁ Χριστὸς διὰ τὸ ὁμοιοῦσθαι τῇ τετράδι τὸν τοιοῦτον ἀριθμόν. ὥσπερ γὰρ ὁ τέσσαρα ἀριθμὸς ἐκ τεσσάρων μονάδων συνέστηκεν, οὕτως καὶ ὁ τεσσαράκοντα ἐκ τεσσάρων δεκάδων. καὶ ἡ μὲν τοῦ κόσμου σύστασις ἐκ τεσσάρων μονάδων πέφυκεν εἶναι τουτέστι στοιχείων· ἡ δὲ τοῦ ἀνθρώπου μόρφωσις ἐν τῇ νηδύι τῆς μητρὸς ἐν τεσσαράκοντα ἡμέραις πέφυκε γίνεσθαι.

C^{p}

16 f Vgl. Hebr. 4, 15

15 *πεινᾷ* — **18** *παθήματι* < C^{la} C^{lb} C^{lc}

62.

Matth. 4, 3—10

Ὅσα ἐνεθυμεῖτο ὁ διάβολος μηχανήματα πρὸς ὑποσκελισμὸν τοῦ φαινομένου Ἀδάμ, αὐτὸς ἐδίδου τὰς λαβάς. οἷον· ἔλεγεν ἐν ἑαυτῷ ὁ διάβολος· τὸν πρῶτον ἄνθρωπον διὰ βρώσεως ἠπάτησα, οὗτος οὐ πεινᾷ ἵνα αὐτὸν ἀπατήσω διὰ βρώσεως; ἐνέδωκε τῇ πείνῃ. πάλιν ἔλεγεν ἐν ἑαυτῷ ὁ διάβολος· εἰ ἦν εἰς ὄρος ὑψηλόν, ἐδείκνυον αὐτῷ σχήματα καὶ ἐπηγγελλόμην αὐτῷ καὶ πολλάκις ἠπάτων αὐτόν — ἀνῆλθεν ὁ σωτὴρ εἰς τὸ ὄρος καὶ ἔδωκεν αὐτῷ λαβήν. οὕτω καὶ ἐν τῷ Ἰὼβ νόει· τὰς βουλὰς τοῦ διαβόλου συγχωρεῖ ὁ θεὸς ἐνεργεῖν, ἐν οἷς τὸ δίκαιον τοῦ θεοῦ φανεροῦται καὶ τὸ ἀνόσιον τῆς κακίας.

Τοιοῦτον δέ τι ἔστι νοεῖν ἐπὶ τῷ πειρασμῷ τοῦ κυρίου. μαθὼν γὰρ τοῦ πονηροῦ τὴν ἔννοιαν ἀνῆλθεν »εἰς τὴν ἔρημον«, »ἐπείνασεν« ἑκών, ἐκείνου νομίζοντος διὰ τροφῆς αὐτὸν δύνασθαι καθάπερ τὸν Ἀδὰμ ἀπατᾶν, εἰ πεινάσειεν. καὶ πρὸς τὴν ἔννοιαν ἐκείνου πάλιν ἀνῆλθεν εἰς τὸ πτερύγιον. εἰ δὲ καὶ εἰς τὸ ὄρος, φησίν, ἀνήνεγκα τοῦτον, ἐδείκνυον αὐτῷ πάσας τὰς βασιλείας τῆς γῆς, ὅθεν ἀνῆλθεν ἑκών. οὕτω καὶ πάλαι ὁ θεὸς ὁρῶν αὐτὸν σκοποῦντα ὡς· εἰ δυνατὸν ἦν ὄφιν λαλῆσαι, προσῆλθον ἂν δι' αὐτοῦ εἰς ἀπάτην τοῖς πρωτοπλάστοις, συνεχώρησε τοῦτο παρασκευάσας λαλῆσαι τὸ ἴδιον δημιούργημα. ἐπειδὴ καὶ ἐπὶ τοῦ Ἰὼβ τὴν τοσούτων ἀναίρεσιν συνεχώρησεν ἐκείνου σκοποῦντος ὡς· εἰ συνεχωρήθη, ἤλεγχον ⟨ἂν⟩ αὐτοῦ τὴν ἐπίπλαστον ἀρετήν, ἣν ἔχειν διὰ τὸν πλοῦτον δοκεῖ. ὁ γὰρ ἐκεῖ διάλογος τοιαύτην ἔχει τὴν δύναμιν, σαφηνείας ἕνεκα τῆς γραφῆς τῷ σχήματι τοῦ λόγου τὰς ἐννοίας λογοποιούσης.

C[la] 2. 3 C[lb] 1. 5 C[lc]

C[luc] vgl. Or. IX 181, 16—182, 14

1ff Vgl. Das Fragment des Origenes zum Lukas IX 182, 18—183, 26 — **3f** *αὐτὸς ἐδίδου τὰς λαβάς*] sehr ähnlich Chrysostomus hom. 13 p. 168 C; anonym *B* (Matthaei I 11, 9—11) — **4** Vgl. Matth. 4, 1f — **7f** Vgl. Hier. in Matth. 20 A: *permittitur autem esurire corpus, ut diabolo temtandi tribuatur occasio* — **14f** *καὶ ἔδωκεν αὐτῷ λαβήν*] s. zu Z. 3 — **17** Vgl. Gen. 3, 1 usw. — **19ff** Vgl. Job 1, 12 2, 6

63.

Matth. 4. 4

Ὑπὸ τοῦ σωτῆρος τὸ ῥηθὲν ἐρρέθη, ἐμφαίνεται δὲ τῷ ἐπιστήσαντι ὅτι πρὸ τοῦ μάννα ὅπερ ἦν οὐράνιος τροφὴ κακωθῆναι δεῖ καὶ λιμαγχονηθῆναι ἐξαναλισκομένης τῆς κατὰ τροφὴν πιότητος. γέγραπται δὲ οὕτως· »καὶ μνησθήσῃ πᾶσαν ὁδὸν ἣν ἤγαγέν σε κύριος ὁ θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ ἐκπειράσῃ σε καὶ διαγνωσθῇ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξεις τὰς ἐντολὰς αὐτοῦ ἢ οὔ. ἐκάκωσέν σε καὶ ἐλιμαγχόνησέν σε, καὶ ἐψώμισέν σε τὸ μάννα ὃ οὐκ ἤδεισαν οἱ πατέρες σου, ἵνα ἀναγγείλῃ σοι ὅτι οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος«. ὅτι δὲ (φησὶ) τὸ μάννα λόγος ἦν δηλοῦται, ἡνίκα εἶπεν Μωσῆς ἀποκρινόμενος πρὸς τὴν πεῦσιν τῶν υἱῶν Ἰσραήλ, ὁπότε εἶπεν »ἕτερος τῷ ἑτέρῳ· τί ἐστιν τοῦτο;« τί οὖν εἶπεν Μωσῆς· »οὗτος (φησὶν) ὁ ἄρτος ὃν ἔδωκεν ὑμῖν κύριος φαγεῖν· τοῦτο τὸ ῥῆμα ὃ συνέταξεν κύριος«. εἶτα ἐφ᾽ ἕτερον πρόεισιν ὁ διάβολος ἥττημα.

C[a]

3 Deut. 8, 2. 3 — 10 Ex. 16, 15. 16

5 *κακώσῃ σε* LXX *κακώσητε* C[a]

64.

Matth. 4. 4

Οὐ τρέφεται ἄρτῳ ἡ ἀρετή, οὐ διὰ κρεῶν καὶ τῶν ἄλλων τῆς σαρκὸς ἐδωδίμων ἡ τῆς ψυχῆς δύναμις εὐεκτεῖ· ἄρτος δὲ πνευματικός ἐστι καὶ ζωὴ τοῦ κατὰ ἀλήθειαν ἀνθρώπου ἡ ἀρετή, σωφροσύνη, σοφία, δικαιοσύνη, ἀπάθεια.

C[la] 2. 3 C[lb] 1. 5 C[lc]

65.

Matth. 4, 6. 7

Ἐπειδὴ εἰκός τινες πιστεύοντες τῷ διαβόλῳ ὡς καλῶς ἐξειληφότι τὴν προφητείαν οὐκ εἰς ἄλλον τινὰ ἢ εἰς τὸν Χριστὸν προφητευομένην ἀπειθοῦσι

C[la] 2. 3 C[lb] 1. 5 C[lc] C[luc] (vgl. Or. IX 189, 16—27, in einem umfangreicheren Origenes-Scholion)

1ff Vgl. Hier. in Matth. 21 A: *hoc in nonagensimo psalmo legimus; verum ibi non de Christo, sed de viro sancto prophetia est. male ergo interpretatur scripturas diabolus* etc. Dazu *II* 28, 22ff und Chrysostomus hom. 13 p. 171 D

1 *ἐπειδή* — 7 *ἀληθής* < C[la] 3   1f *ἐπεὶ δὲ εἰκός τινας πιστεύοντας . . . ἀπειθήσειν* C[luc]

τοῖς εἰρημένοις. γινωσκέτωσαν ὅτι πάντα τὰ κατὰ τὸν Ψαλμὸν εἰς ἀνθρώπου φύσιν ἀναφέρεται δεομένου πολλῆς βοηθείας καὶ σκέπης θεοῦ καὶ τῆς παρ᾽ αὐτοῦ ἀντιλήψεως, ἵνα ῥυσθῇ ἀπὸ πάσης τῆς τῶν θηρευόντων »παγίδος« καὶ ἀπὸ παντὸς »ταραχώδους« καὶ ψευδοῦς »λόγου«. προφητείας μνημονεύει ὁ δόλιος, καὶ ὁ ἀληθὴς προφητείας μέμνηται. οὐκ ἐκπειράσεις κύριον τὸν θεόν σου, ἐμὲ τὸν λαλοῦντά σοι.

3ff Vgl. Ps. 90, 1ff

6 προφητείας — 8 σοι < C[luc]

66.

Matth. 4, 8

Ἄλογον τὸ αἰσθητῶς ἀκούειν τὸ ὄρος καὶ τὴν ἀνάβασιν καὶ τὰς βασιλείας. μήποτ᾽ οὖν ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ὕψος τῶν θεωρητῶν αὐτῷ καὶ τὰς διαφόρους δόξας τὰς περὶ εὐσεβείας, ἔδειξεν δὲ βασιλείας τὰς »ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, οὓς δὲ ἔσπειρεν υἱοὺς Ἀδάμ, στήσας ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ«.

C[a]; vgl. *Π* 30, 2—5

1ff Diese Deutung „einiger" wird von Theophylakt bekämpft (auch bei Chrysostomus nach C[p] p. 49) — 4 Deut. 32, 8

1 τὸ ὄρος *Π* τοῦ ὄρους C[a] 2 θεωρητῶν αὐτῷ] θεωρημάτων *Π* 4 δὲ ἔσπειρεν für διέσπειρεν in LXX sehr selten | στήσας für ἔστησεν in LXX unbelegt

67.

Matth. 4, 10

Σατανᾶς ἑρμηνεύεται τῇ Ἑβραΐδι φωνῇ ὁ ΑΝΤΙΚΕΙΜΕΝΟΣ, ἡ δὲ γραφικὴ ῥῆσις ἐν τῷ Δευτερονομίῳ κεῖται παράπληκτος ὁ διάβολος τῷ θεῷ λόγῳ ἐπαγγελλόμενος διδόναι ἅπερ αὐτὸς ἐποίησεν. ἐπιπληκτικῶς δὲ ὁ κύριος τῷ διαβόλῳ λαλεῖ λέγων ὅτι μόνῳ θεῷ ἐδιδάχθημεν προσκυνεῖν, οὐχ ἑτέρῳ· »πάντες« γὰρ αὐτοῦ »εἰσι λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν«.

C[la] 3 C[lb] 1. 5; C[la] 1. 2 C[lc] haben unter ὠρ nur Z. 1f bis κεῖται, dagegen Z. 2 παράπληκτος — 6 σωτηρίαν unter Theodor von Mopsueste

1 Vgl. Wutz Onom. sacra 134 — 1f Vgl. Deut. 6, 13 — 5 Hebr. 1, 14

68.

Matth. 4, 11

Τίς δὲ ἦν αὕτη ἡ διακονία, ἣν διηκόνουν οἱ ἄγγελοι τῷ Ἰησοῦ τότε, ἢ ὅτι ἕκαστος αὐτῶν ἐνεχειρίζετό τινας τῶν εἰς τὸν Ἰησοῦν πιστευόντων, ἵνα ἔχῃ ἕκαστος ἄγγελον »διὰ παντὸς« βλέποντα »τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς πατρός«; οἵους δὲ εἰκὸς λόγους ὑπὸ Ἰησοῦ λελέχθαι τοῖς διακονουμένοις τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀγγέλοις καὶ οἵας αὐτοῖς ὑποθήκας ὑπέθετο, παρατιθέμενος αὐτοῖς τοὺς ἐν τῇ ἐκκλησίᾳ μικρούς, ἵνα παρεμβάλωσιν ἄγγελοι »κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ« ῥύωνται »αὐτούς«.

C^{1a} 1. 2. 3 C^{1b} 1. 5; C^{1c} hinter Nr. 67 Schluß = Theodor von Mopsueste

7 Vgl. Matth. 18, 10 — 15 Ps. 33, 8

3 *τότε*; *ἢ* Mercati, der Z. 14 *μικρούς*; interpungiert

Τὸ διηκόνουν αὐτῷ ἄγγελοι τοῦτο δηλοῖ τὸ εἶναι ἕκαστον τῶν πιστῶν ὑπ᾽ ἀγγέλου διακονούμενον κατὰ φύσιν ἔχοντα

καὶ φυλάσσοντα τὰς τοῦ Χριστοῦ ἐντολάς. ὃ δὴ καὶ Δαβὶδ ἐν Ψαλμοῖς εἴρηκεν, ὅτι »τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσί σε«.

C^{p}

7 Ps. 91, 11. 12

69.

Matth. 4, 12

Δῆλον δὲ ὅτι κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην οὗτος ἦν ὁ καιρὸς τοῦ κεκλεῖσθαι αὐτὸν εἰς φυλακήν· λέλεκται γὰρ παρ᾽ αὐτῷ τὸ »ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ· οὔπω γὰρ ἦν Ἰωάννης βεβλημένος εἰς φυλακήν«. κατὰ τοὺς τέσσαρας τοίνυν εὐαγγελιστὰς οὔτε πρὶν βαπτίσασθαι Ἰησοῦν ἀντέστη τι κώλυμα βαπτίζοντι Ἰωάννῃ οὔτε μετὰ πολλὰ ἔτη, ὡς λήξαντος Ἰωάννου ἐν ἀρχῇ τοῦ οἰκονομεῖσθαι τὸ εὐαγγέλιον ὑπὸ τοῦ Ἰησοῦ. τάχα δὲ ἡ φρουροῦσα δύναμις Ἰωάννην, ἕως ἐν Ἰησοῦ τελειώσῃ τὴν τοῦ βαπτίσματος οἰκονομίαν, κατέλιπεν αὐτὸν τῷ τε ἐν φυλακῇ πειρασμῷ καὶ τῷ ἀποκεφαλισμῷ.

C^{a}: i. m. übereinander *ΙΩ*, *ΘΕ* und *ωϛ*: ob das Origenes-Scholion noch früher beginnt? nach Z. 5f muß von allen 4 Evangelisten gesprochen sein

2 Joh. 3, 23. 24 — 10 Vgl. Matth. 11, 3. 6 — Matth. 14, 10

70.
Matth. 4, 12—16

Ζητήσειεν δ' ἄν τις πρὸς τὸ ἀκούσας ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν. εἰ καὶ πρὶν ἀκοῦσαι οὐκ ᾔδει ὁ εἰδὼς »τί ἦν ἐν τῷ ἀνθρώπῳ«. ἀλλ' οὐδὲν λυπεῖ εἰδότα ἀκηκοέναι καὶ ἀκηκοότα ἀνακεχωρηκέναι ἢ ἀκηκοέναι κατὰ τὴν οἰκονομίαν, καθ' ἣν καὶ ἐπειράσθη. ἀλλὰ καὶ τὸ »αὐτὸς ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ« παρὰ Ἰωάννῃ λέγεται τῷ μὴ γενεαλογήσαντι αὐτὸν ἀλλὰ θεολογήσαντι.

[οὐ διὰ δειλίαν δὲ ὑπεχώρησεν, ἀλλ' ἡμᾶς δι' ὧν ποιεῖ διδάσκει ὑποχωρεῖν τοῖς διώκουσιν. ἀναχωρεῖ δὲ ἐκ τῆς Ἰουδαίας ἐπὶ τὰ ἔθνη, δεικνὺς ὅτι οὐ μόνον ὅταν εἰς αὐτὸν τὸν θεὸν ἐνυβρίσωσιν Ἰουδαῖοι ἀφίσταται αὐτῶν, ἀλλὰ καὶ ὅταν εἰς τοὺς ἁγίους προφήτας ἁμαρτάνωσιν. φῶς δὲ μέγα ἐστὶν ὁ Χριστὸς καὶ ἡ φαιδρότης τοῦ εὐαγγελίου, οὐκέτι ὁ νόμος, ὃς λύχνῳ ἦν ἀπεικασθείς, διὸ καὶ ἀεὶ λύχνος ἐν τῇ σκηνῇ ἐκαίετο διὰ τῆς τοῦ νόμου αὐγῆς ἄχρι μόνων τῶν Ἰουδαϊκῶν ὅρων ἰσχύων ἐκπέμψαι τὸ ἴδιον φῶς· οὐκοῦν οἱ ἐθνικοὶ ἐν σκότει ἦσαν ὡς μηδὲ τὸ λυχνιαῖον ἔχοντες φῶς.]

C^a; Zeile 1—6 in C^{lb} 1 als Ἀνεπίγραφος (Heinrici 31 App.). Z. 7—15 unter Kyrill in C^{lb} 1 (Heinrici 32 App.). 5, zu Z. 10f. 13ff vgl. *Π* 32, 12—15, Z. 10 φῶς —15 als Schluß eines Ἀνεπίγραφος-Scholions in C^n

2. 4 Joh. 2, 25 — 12 Vgl. Ex. 27, 20

71.
Matth. 4, 12

Ἀναχωρήσας ὁ Χριστὸς τὸν λόγον τετήρηκε τῆς γραφῆς τὸν λέγοντα· »ἐὰν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν«. καὶ ἵνα τὰ ἔθνη ἄξῃ πρὸς ἑαυτὸν καὶ φωτίσῃ φωτὶ ἐπιγνώσεως.

C^p

2 Matth. 10, 23 (vgl. var. lect.)

72.
Matth. 4, 16

[Οὐ σκότος αἰσθητὸν ἐνταῦθα καλεῖ, ἀλλὰ τὴν πλάνην καὶ τὴν ἀσέβειαν· ὁμοίως δὲ καὶ φῶς νοητὸν τὴν ἐπίγνωσιν τῆς ἀληθείας λέγει. οὐκ εἶπε δὲ

C^b, der Anfang ähnlich unter τοῦ αὐτοῦ (= Kyrill, vgl. MPG 72, 372 D 373 A) in C^{lb} 1. 5, das Ganze anonym bei Cramer I 28, 2—8; in der Tat ist es Chrysostomus hom. 14 p. 178 CDE

ὅτι ἐβάδιζον ἐν σκότει, ἀλλ' ἐκάθηντο. ὅπερ σημεῖον ἦν τοῦ μηδὲ ἐλπίζειν αὐτοὺς ἀπαλλάττεσθαι· ὥσπερ γὰρ οὐδὲ εἰδότες ποῦ δεῖ προβῆναι, οὕτω καταληφθέντες ὑπὸ τοῦ σκότους ἐκαθέσθησαν, μὴ δυνάμενοι μηδὲ στῆναι λοιπόν.]

73.

Matth. 4, 16

Σκιὰν θανάτου εἴρηκε καὶ οὐ θάνατον διὰ τὸ μὴ δύνασθαι τὴν ἁμαρτίαν εἰς τὸ παντελὲς φθείρειν τὴν ψυχήν, ὥσπερ ὁ θάνατος τὰ σώματα, ἀλλὰ σκιὰν φέρειν αὐτῇ θανάτου. καὶ τὸ ἀνέτειλε φῶς σημαίνει ὅτι οὐχ ἡμῖν ζητοῦσιν ἀνέτειλεν, ἀλλ' ἐν ἀμελείᾳ κειμένοις ἔλαμψεν.

C^{p}; zu Z. 3f. Parallele in dem zu Nr. 72 erwähnten *τοῦ αὐτοῦ* (= Kyrill)-Scholion in C^{lb} 1. 5: *εἶτα δείκνυσιν ὅτι οὐκ αὐτοὶ ζητήσαντες εὗρον κτλ.*

74.

Matth. 4, 17

Ἔν τισι τὸ μετανοεῖτε οὐ κεῖται. εἰ δὲ τὰ αὐτὰ ὁ σωτὴρ Ἰωάννῃ λέγει, εἷς ὁ ἀμφοτέρους πέμψας θεός. καὶ τάχα Ἰωάννης μὲν ὡς ἑτοιμάζων θεῷ »λαὸν κατεσκευασμένον« πρῶτος λέγει μετανοεῖτε. Ἰησοῦς δὲ ἡτοιμασμένα παραλαβὼν μηκέτι δεόμενα μετανοίας οὐ λέγει μετανοεῖτε. οὐκ ἀντικηρύσσων δὲ νόμῳ καὶ προφήταις. πληρώσαντι δὲ Ἰωάννῃ τὴν παλαιὰν κηρύσσειν ἤρξατο τὴν νέαν, αὐτὸς ἀρχὴ γενόμενος αὐτῆς. διὸ ἐπὶ Ἰωάννου οὐ γέγραπται τὸ ἤρξατο· πέρας γὰρ ἦν. καὶ ἔτι ὁ μὲν ἐν ἐρήμῳ κηρύσσει, ὁ δὲ ἐν λαῷ. ἡ δὲ βασιλεία τῶν οὐρανῶν οὐκ ἐν τόπῳ ἐστίν, ἐν δὲ διαθέσει. »ἐντὸς« γὰρ »ἡμῶν ἐστιν«. ὅρα δὲ εἰ Ἰωάννης μὲν κηρύσσει ἐγγίζουσαν βασιλείαν οὐρανῶν, βασιλεὺς Χριστὸς ἦν παραδώσει »τῷ θεῷ καὶ πατρί«.

C^{a} unter *ΣΧ ΕΥΣ ϭ*; zu Z. 1—4 vgl. *II* 33, 2—7, 3ff *B* (Matthaei I 13, 22f), zu Z. 8f *II* 33, 7—9, 8ff *B* (Matthaei I 15, 11—14)

1f Vgl. Hier. in Matth. 22 C: *si autem eadem salvator praedicat, quae Iohannes baptista ante [prae]dixerat, ostendit se eiusdem dei esse filium, cuius ille propheta sit* — **3** Vgl. Luc. 1, 17 — **5** Vgl. Matth. 5, 17 — **7. 9f** Vgl. Matth. 3, 1. 2 — **9** Vgl. Luc. 17, 21 — **10f** Vgl. I. Kor. 15, 24

1 *μετανοεῖτε* fehlt in syr^{sc} Clem. Or. Eus.

75.

Matth. 4, 17

Βασιλεία οὐρανῶν ἢ τὰ μετὰ τὴν ἀνάστασιν ἀγαθὰ ἢ τὸ κήρυγμα.

C[la] 1. 2 C[lc]

Ἔστι δὲ βασιλεία οὐρανῶν καὶ ὁ Χριστὸς καὶ ἡ ἐνάρετος ζωή.

C[p] (C[la] 3: *Φῶς* [sic] *ἐστιν ἡ ἐνάρετος ζωή*), vgl. zu Z. 1f Nr. 38 I/II. 226, zu Z. 2f Nr. 96

76.

Matth. 4, 22

Ὡς μὲν πατέρα ἐτίμων αὐτὸν τρέφοντες καὶ παντοίως θεραπεύοντες, ἀσεβήσαντα δὲ κατέλιπον.

C[p]; vgl. *II* 34, 10f, auch Chrysostomus hom. 14 p. 180 E

77.

Matth. 4, 23. 24

Τὸ ποικίλον τῶν κακιῶν ὄψει ἐν ἀσωτίᾳ ἢ φιλαργυρίᾳ ἢ ἀγροικίᾳ ἢ ἀκολασίᾳ καὶ εὐηθείᾳ καὶ πανουργίᾳ καὶ θρασύτητι καὶ δειλίᾳ καὶ πᾶσι φαύλοις ἐναντίοις, βάσανοι δὲ ψυχῆς χρήματα, δόξα, πενία, ἀδοξία. καὶ ὑπὸ δαιμόνων ἀδικοῦνται μὲν σώματα, ἐνεργοῦνται δὲ ψυχαὶ εἰς τὸ ἁμαρτάνειν καὶ μαίνεσθαι. ὁ δὲ σεληνιαζόμενος ἔχει »τὸ ἄλαλον καὶ κωφὸν« δαιμόνιον. τοιαῦτα δὲ πάθη ἐκ διαλειμμάτων ἐνοχλεῖ ψυχῇ, ἐκκωφοῦντα πρὸς τὸν σωτήριον λόγον, ὡς θυμὸς παράλυσίς ἐστι ψυχῶν, ὧν ὁ ἐπιβάλλων τόνος παρίεται καὶ τὸ πρακτικὸν καὶ πορευτικόν. μαλακίαν δὲ ψυχῆς γενικῶς μὲν λέγουσιν Ἕλληνες τὴν ἀπὸ κακίας νόσον, εἰδικῶς δὲ τὴν ἐναντίαν τῇ καρτερίᾳ, ἔνδοσιν οὖσαν πρὸς ὑπομονὴν καὶ πόνους καὶ ἀλγηδόνας.

C[la] 1. 2. 3 C[lb] 1. (5 ?) C[lc]; zu Z. 6f. vgl. *II* 35, 4f

5f Vgl. Marc. 9, 25

6 *ψυχήν* C[la] 1

78.

Matth. 4, 24

Δαίμων ὁ σεληνιακὸς τὴν τοῦ θεοῦ διαβάλλειν πειρώμενος κτίσιν τῇ κινήσει τῆς σελήνης ἐπὶ λύμην χωρεῖ· καὶ ἄλλην δὲ αἰτίαν ἴσως εὑρήσεις καὶ τοῦτο εἰδικῶς, τὴν δὲ εἰκόνα θεωρῶν ὄψει.

C^{la} 1. 2. 3 C^{lb} 1. (5 ?) C^{lc}

1f Vgl. Hier. in Matth. 22 E: *qui putabantur lunatici ob daemonum fallaciam, qui observantes lunaria tempora creaturam infamare cupiebant, ut in creatorem blasphemiae redundarent.* Vgl. auch *N* 105

2 *εὑρήσεις*] danach Lücke? Diehl

79.

Matth. 5, 1

Ἀναδράμωμεν καὶ ἡμεῖς πρὸς τὴν ἄνοδον, ἵνα μετὰ τοῦ Ἰησοῦ κατὰ τὴν ἀκρώρειαν τῆς ἐλπίδος γενόμενοι ἴδωμεν ἐκ περιωπῆς τὰ ἀγαθὰ ἐκεῖνα. ὅσα τοῖς ἀκολουθήσασιν ἐπὶ τὸ ὕψος ὁ λόγος δείκνυσι. [μὴ γὰρ δὴ τοῖς μαθηταῖς ἐκείνοις νόμιζε διαλέγεσθαι μόνον, ἀλλὰ καὶ δι' ἐκείνων ἅπασιν. ἐν γὰρ τῇ πρὸς ἐκείνους διαλέξει καὶ τοῖς λοιποῖς ἅπασι τοῖς σφόδρα ἀποδέουσιν τῶν λεγομένων ἀνεπαχθῆ παρασκευάζει τῆς φιλοσοφίας τὴν διδασκαλίαν.]

C^{la} 2 C^{lb} 1; dagegen in C^{la} 1. 3 C^{lb} 5 C^{lc} als Gregor von Nyssa. Z. 3 *μὴ*—7 *διδασκαλίαν* ist jedenfalls aus Chrysostomus hom. 15 p. 185 AB

80.

Matth. 5, 2

Στόμα Χριστοῦ ἀνοιγόμενον »οἱ θησαυροὶ τῆς σοφίας« εἰσίν, οὓς προφέρει διὰ τῆς διδασκαλίας, ἀρχόμενος πρεπόντως αὐτῷ ἀπὸ τῶν μακαρισμῶν.

C^{a}; vgl. *Π* 36, 5f

1 Vgl. Kol. 2, 3

81.

Matth. 5, 5

Πραότης ἐστὶν ἡσυχιότης πρὸς τοὺς ἁμαρτάνοντας μετὰ ἀοργησίας, ἢ ἕξις καθ᾽ ἣν μετριαστικοί ἐσμεν πρὸς τὰς κολάσεις, ἢ ἕξις εὐάγωγος πρὸς τὸ ποιεῖν μὲν τὰ ἐπιβάλλοντα ἐν πᾶσι μὴ ἐκφέρεσθαι δὲ εἰς ὀργὴν ἐν μηδενί, ἢ κρᾶσις ψυχῆς σύμμετρος, ἢ ῥαθυμία θυμοῦ ἐν τοῖς δοκοῦσι δεινοῖς, ἢ ἐγκράτεια ὀργῆς ὡς ἀρχὴν μηδὲ ἐγγίνεσθαι, ἢ εὐκολία ψυχῆς ἀτάραχος; ἢ ἕξις καθ᾽ ἣν ὁμιλοῦμεν κατ᾽ αὐτάς, ποῖος μὲν πρᾶος ποῖος δ᾽ οὐ πρᾶος. οὐ χαλεπὸν δὲ ἐφαρμόσαι τοὺς ὅρους Μωσεῖ, ὃς γέγραπται πρᾶος παρὰ πάντας ἀνθρώπους τοὺς ἐπὶ τῆς γῆς, καὶ ἔτι Δαβίδ, περὶ οὗ εἴρηται· »μνήσθητι, κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ«. περὶ γὰρ τοῦ σωτῆρος τί ἂν καὶ λέγοιμεν, ὃς διὰ πραότητα λέγεται· »ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη« καὶ τὰ ἑξῆς, ὃς δέ φησι· »μάθετε ἀπ᾽ ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ«.

Cª C[la] 1. 2. 3, auch C[lc], Z. 1—4 vgl. *Π* 37, 8—10

Τὴν πραότητα ὁρίζονται ἡσυχίαν τινὰ πρὸς τοὺς ἁμαρτάνοντας, ἢ ἕξιν, καθ᾽ ἣν μετρίως φερόμεθα πρὸς τὰς κολάσεις τῶν ἁμαρτανόντων, ἢ ἐγκράτειαν ὀργῆς, ἢ εὐκολίαν ψυχῆς ἀτάραχον.

C[p]

1ff Vgl. E. Klostermann in ZNTW 1938 S. 58 — **16f** Vgl. Num. 12, 3 — **18** Ps. 131, 1 — **22** Jes. 53, 7 — **24** Matth. 11, 29

13 *αὐτάς*] l. wohl mit Diehl: *ἀρχάς*
26 *καρδίᾳ*] das entsprechende *Ἀνεπίγραφος*-Scholion in C[lb] 1. 5 fährt noch fort: *ἢ ἐπειδὴ πλεονάζει κατὰ τὴν φύσιν ἡ πρὸς τὰ κακὰ ταχυτής, καλῶς τὸ ἐν τοῖς τοιούτοις ἠρεμοῦν μακάριον*

82.
Matth. 5, 5

Γῆ ἐστι κληρονομία ἡ ὑψηλὴ τῶν »ζώντων« καὶ τὰ ἴδια σώματα ἔνδοξα καὶ ἄφθαρτα κληρονομούντων.

C[la] 1. 3 C[lc]

1f. Vgl. Hier. in Matth. 23 D: *terram quam Psalmista desiderat . . . regione viventium* — Vgl. Ps. 26, 13?

1 *κληρονομίας* C[lc]

83.
Matth. 5, 6

Εἰ δὲ χρὴ καί τινος τολμηροῦ καθάψασθαι λόγου, τάχα μοι δοκεῖ διὰ τοῦ κατ' ἀρετὴν καὶ δικαιοσύνην λόγου ἑαυτὸν προτιθέναι τῇ ὀρέξει τῶν ἀκουόντων ὁ κύριος, »ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις«. ἀλλὰ καὶ »ἄρτος ἐξ οὐρανοῦ καταβαίνων« καὶ »ὕδωρ ζῶν« οὗ διψῆν ὁμολογήσας ὁ μέγας Δαυὶδ ἔν τινι ψαλμῳδίᾳ φησίν· »ἐδίψησεν [σε] ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ ⟨τοῦ θεοῦ« . . . · »ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ⟩ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου«. αὕτη γοῦν ἐστιν (κατά γε τὸν ἐμὸν λόγον) ἡ ἀληθὴς ἀρετή. τὸ ἀμιγὲς τοῦ χείρονος ἀγαθόν, αὐτὸς ὁ θεός, ἡ τοὺς »οὐρανοὺς« καλύψασα »ἀρετή«, καθὼς ὁ Ἀμβακοὺμ διεξέρχεται.

C[a]; zu Z. 2ff vgl. *II* 38, 4f. Dagegen findet sich Z. 1 *Εἰ* — 8 *σου* in einem Scholion des Gregor von Nyssa in C[n] 124f

3 I. Kor. 1, 30 — **4** Joh. 6, 50 — **5** Vgl. Joh. 4, 7 — **6** Ps. 41, 3 — **7** Ps. 16, 15 — **10f** Vgl. Hab. 3, 3

6 [σε] Kl nach C[n] (σε ist wohl aus Ps. 41, 2 eingedrungen) **7f** ⟨τοῦ . . . προσώπῳ⟩ Kl, vgl. auch C[n]

84.
Matth. 5, 7

Θεός ἐστιν ἀληθής, οὗ »ἔλεος καὶ ἀλήθεια« προπορεύεται.

C[p]

1f Vgl. Ps. 88, 15

85.
Matth. 5, 7

Ἔστιν ἔλεος ψεκτὸς ὡς ἐπὶ τοῦ Σαοὺλ ἐπὶ Ἀγὰγ τὸν ἀλλόφυλον· τὸ γὰρ ἀνωφελὲς οὐκ ἔλεος οὐδὲ ἐπιστημονικῶς. καὶ διὰ τοῦτό φησιν ὁ θεὸς διὰ τοῦ προφήτου περὶ τῶν ἁμαρτωλῶν· »οὐκ οἰκτειρήσω καὶ οὐκ ἐλεήσω«, καὶ Παῦλος· »ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν θεοῦ· ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομία, ἐπὶ δὲ σὲ χρηστότης«.

C^{1a} 1. 2. 3 C^{1c}; dagegen in C^{1b} 1. 5 Schluß eines *Ἀνεπίγραφος*-Scholions

1 Vgl. I. Regn. 15, 9 — 3 Jer. 21, 7 var. lect. (Q^{mg}) — 4 Röm. 11, 22

1 *ἐπὶ*] l. *ἐστι*? Diehl

86.
Matth. 5, 8

Οὐκ ἔστι θεὸν ἰδεῖν μὴ καθαρθέντα τῇ καρδίᾳ.

ἡ γὰρ καρδία ὀφθαλμός ἐστιν, ὁ δὲ ὀφθαλμὸς ἡ φύσις τοῦ νοός. ὥσπερ οὖν ὁ ὀφθαλμὸς θεωρῶν τὸ φῶς κατὰ φύσιν ἐστίν, εἰ δὲ οὐ θεωρεῖ παρὰ φύσιν, οὕτως καὶ τὸ νοερόν· τὸ γὰρ κατὰ φύσιν ὁρᾶν τὸ καθαρόν ἐστιν.

C^{1a} 1. 2. 3 C^{1b} 1. (5 ?) C^{1c}

Θεὸν οὐδεὶς οὐδέποτε ὄψεται ἀκάθαρτος ὢν καὶ μεμολυσμένος τοῖς πάθεσιν.

ὁ γὰρ ὀφθαλμὸς τῆς ἡμετέρας ψυχῆς τοῖς τοῦ βίου ὀχληροῖς συγκαλυπτόμενος διὰ τῆς πρακτικῆς ἀρετῆς ἀνεγείρεται καὶ ὁρᾷ τὸ φῶς, καὶ δι᾽ αὐτοῦ τὸν θεόν.

C^{p}

87.
Matth. 5, 9

Εἰρηνοποιοί εἰσιν οἱ

C^{1a} 1. 3 C^{1c}

Τρίτος εἰρηνοποιὸς ὁ τὴν ἄλλοις φαινομένην

C^{a}; zu Z. 1—8 vgl. Philokalie c. VI (s. oben S. 5, 6—9); nach Heinrici 40 App. soll Ähnliches in C^{1b} 1 A unter *Γρηγορίου Νύσσης* stehen (nach C^{1b} 5 gehört die Bezeichnung aber zum nächsten Scholion *οἶμαι δὲ κυρίως κτλ.*), zu Z. 8f vgl. *Π* 40, 5

Οἱ τὴν δοκοῦσαν μάχην ἐν ταῖς θείαις γρα-

C^{p}

κατὰ τὸν υἱὸν τοῦ θεοῦ ποιοῦντες ἐν τῷ ἰδίῳ μέτρῳ. καταλλαγὴ γὰρ πάντων ὁ Χριστὸς ἐγένετο.

μάχην τῶν γραφῶν ἀποδεικνὺς συμφωνίαν παλαιῶν πρὸς καινάς, νομικῶν πρὸς προφητικάς, εὐαγγελικῶν πρὸς εὐαγγελικάς. δι᾽ ἃ μιμησάμενος τὸν υἱὸν τοῦ θεοῦ υἱὸς θεοῦ κληθήσεται ἔργῳ τὸ »πνεῦμα« τῆς »υἱοθεσίας« λαβών.

φαῖς ἑρμηνεύοντες ὀρθῶς καὶ εἰς συμφωνίαν ἀνάγοντες καὶ διδάσκοντες τοὺς ἄλλους οὕτω φρονεῖν εἰρηνοποιοὶ καλοῦνται.

11f Vgl. Röm. 8, 15

88.
Matth. 5, 10

Πάντες οἱ ἐν Χριστῷ ζῆν ᾑρημένοι ἢ καὶ ἄλλως πως τὴν ἀρετὴν μετερχόμενοι διωχθήσονται διὰ τὸ τῆς ἕξεως ἀνόμοιον καὶ τὴν πρὸς τὰ κακὰ ῥοπὴν τῶν διωκόντων αὐτούς.

Cp

89.
Matth. 5, 10

Δικαιοσύνη ἐστὶν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ.

C[la] 3; anonym in cod. Ambros. D inf. 466 (976)

90.
Matth. 5, 13

Τῇ συντελείᾳ »ἐλθὼν« ὁ Χριστὸς ζητεῖ »πίστιν ἐπὶ γῆς«. τὸ ἅλας μωραίνεται· οἱ γὰρ πίστει ἁλίζοντες τὴν λοιπὴν γῆν τῶν ἀνθρώπων συντηροῦσιν, οἱ τῆς πίστεως δὲ ἐκπεσόντες καταπάτημα τῆς λογικῆς εἰσι φύσεως, ὀνειδιζόμενοι ὡς ἀπολέσαντες τὸ ἴδιον »καλόν«.

C[a]

1 Vgl. Luc. 18, 8 — 1f Vgl. Orig. tom. VI, 59 in Joh. (Or. IV 168, 8ff). Hier. in Matth. 24 E: *sal appellantur apostoli, quia per illos universum hominum conditur genus* — 4 vgl. Marc. 9, 50

1 γῆς] danach Lücke Diehl

91.
Matth. 5, 13

Εἰς ὅσα μὲν τῶν ἐν τῷ βίῳ τῶν ἀνθρώπων οἱ ἅλες εἰσὶ χρήσιμοι, τί δεῖ καὶ λέγειν; ἄξιον δὲ νυνὶ φάναι, κατὰ τί οἱ Ἰησοῦ μαθηταὶ ἁλσὶ παραβάλλονται. δοκεῖ τοίνυν μοι ὅτι, ὥσπερ οἱ ἅλες τὰ τοιάδε συνέχουσι ⟨σώματα⟩ πρὸς τὸ μὴ μεταβαλεῖν εἰς σκώληκας ἀπὸ δυσωδίας καὶ ποιοῦσι χρήσιμα ἐπὶ πλεῖον εἶναι ⟨οὐκ ἂν διαμείναντα χρόνον, χρειώδη τοῖς ἀνθρώποις τυγχάνοντα, χωρὶς τῶν ἁλῶν⟩, οὕτως καὶ οἱ τοῦ Χριστοῦ μαθηταὶ πάντα τὸν περίγειον τοῦτον τόπον διακρατοῦσιν καὶ συνέχουσιν ἐνιστάμενοι τῇ ἐξ εἰδωλολατρείας καὶ πορνείας ἁμαρτιῶν δυσωδίᾳ. δοκεῖ μοι οὖν ὁ Ματθαῖος διὰ τοῦτο ἀναγεγραφέναι τοὺς μαθητὰς Ἰησοῦ ἅλας. ὁ δὲ Λουκᾶς οὐ σαφῶς τοῦτο δηλοῖ, διόπερ ἀμφίβολος αὐτοῦ ἡ λέξις ἐστίν. δυναμένη καὶ κατὰ τὸν Μᾶρκον νοεῖσθαι ὅτι ἕκαστος ἡμῶν οὐκ ὢν ἅλας ἐν αὐτῷ ἔχειν ὀφείλει τοὺς ἅλας. καὶ τάχα τόσον τις ἔχει ἁλῶν ὅσον κεχώρηκεν τῶν τοῦ Χριστοῦ χαρίτων κατὰ τὸ »χάρις ὑμῖν πληθυνθείη« ⟨καί· ὅστις »εὗρε χάριν ἔναντι κυρίου τοῦ θεοῦ«, ὡς Νῶε καὶ Ἀβραὰμ καὶ Μωσῆς καὶ εἴ τις ἄλλος ἀναγέγραπται εὑρηκέναι χάριν ἐνώπιον τοῦ θεοῦ⟩. συνήγαγεν δὲ ἐπὶ τὸ αὐτὸ τὴν χάριν καὶ τὸ ἅλας ὁ Παῦλος εἰπών· »ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος«. εἴ τις οὖν χάριτος ἀξιωθεὶς κενὴν ταύτην ποιήσει, οὗτος ἂν εἴη ἐν ᾧ οἱ ἅλες ἐμωράνθησαν.

C$^{\text{marc a}}$ (zu Marc. 9, 50); zu 1—17 vgl. *B* (Cramer I 369, 11—31 Matthaei I 179, 3—180, 4); vorher und nachher noch Zugehöriges?

10f Vgl. Luc. 14, 34 — **11f** Vgl. Marc. 9, 50 — **13** I. Petr. 1, 2 u. ö. — **14** Gen. 6, 8 usw. — **17** Kol. 4, 6

1 *μὲν τῶν ἐν* C$^{\text{marc a}}$ *μὲν B* (Cramer) **2** *δὲ νυνὶ B τοίνυν* C$^{\text{marc a}}$ | *φάναι B* (Matthaei) *φαίνεται* C$^{\text{marc a}}$ *B* (Cramer) **3** *συνέχουσι* nach *B* *συνέχοντες* C$^{\text{marc a}}$ **4** ⟨*σώματα*⟩ nach *B* **5—6** ⟨*οὐκ—ἁλῶν*⟩ nach *B* (Cramer, Matthaei hat Lücke) **7** *διακρατοῦσιν* nach *B* *περικρατοῦσιν* C$^{\text{marc a}}$ **8** *ἀνθιστάμενοι τῇ B* (Matthaei) *ἐνθιστάμενοι τοῖς* C$^{\text{marc a}}$ **12** *ὅσον B* + *ἂν* C$^{\text{marc a}}$ **14—16** ⟨*καὶ—θεοῦ*⟩ nach *B* (Cramer, Matthaei)

92.
Matth. 5, 13

[*Οἱ μὲν γὰρ ἄλλοι πίπτοντες δύνανται μυριάκις συγγνώμης τυχεῖν, ὁ δὲ διδάσκαλος ἐὰν τοῦτο πάθῃ πάσης ἀπεστέρηται ἀπολογίας καὶ τὴν ἐσχάτην δίδωσι τιμωρίαν.*]

C^{la} 1. 3 C^{lc}, in C^{lb} 1. 5 in einem *Ἀνεπίγραφος*-Scholion; dagegen unter *Χρυσοστόμου* bei Cramer I 33, 24—27; in der Tat ist es Chrysostomus hom. 15 p. 194 C

93.

Matth. 5, 14

Φῶς ἐστιν ἀληθινὸν τὸ τοῦ κόσμου λέξοντος· »ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς σου«. φῶς δὲ αὐτοὶ κατὰ μετοχὴν γενόμενοι.

C^{a}; vgl. *II* 42, 3f

1 Vgl. Joh. 1, 9 — 1f Ps. 4, 7

94.

Matth. 5, 14

Πόλις ἐστὶν ἐπάνω ὄρους κειμένη ἡ ἐν θεοσεβείᾳ ἐνάρετος πολιτεία.

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc}

1 Vgl. die Variante zu Nr. 96, Z. 4

95 I.

Matth. 5, 15

Καίουσι λύχνον οἱ φωτίζοντες ἑαυτοῖς φῶς γνώσεως, ὃν οὐ τιθέασιν ὑπὸ μόδιον, ἀλλὰ τῶν πιστῶν οἰκο-

C^{a}; vgl. *II* 42, 10—43, 1

Οὐ χρὴ τὸν λύχνον ὑπὸ τὸν μόδιον εἶναι, τὸ σιτομέτριον·

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc}

Οὐ δεῖ τοίνυν τὸν ἅψαντα λύχνον ἐν ψυχῇ λογικὸν κρύπτειν αὐτόν, ἀλλ᾽ ἐπιτιθέναι λυχνίᾳ, ἧς σύμβολον Μωυσῆς

C^{luc} vgl. Or. IX 237, 14—21 (in einem längeren Origenes-Scholion); das gleiche von *μοδίῳ* an bis zum Schluß auch IX 258! Das längere Scholion zu Luc. 8, 16 (*Οὐ περὶ αἰσθητοῦ λύχνου—ἑαυτῶν λυχνίαν*) kehrt in seiner Hauptmasse (*ὅ γε μὴν — ἑαυτῶν λυχνίαν*) anonym wieder in C^{marc} = *B* (Cramer I 306, 20—307, 16 Matthaei I 69, 12—71, 4).

νόμων διδόντων »τὸ σιτομέτριον ἐν καιρῷ«. ἐπὶ δὲ λυχνίαν ψυχὴν ἢ λογικὴν ἕξιν, ἧς τύπος ἡ παρὰ Μωσεῖ λυχνία χρυσῆ·		ἀπέθετο ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.
ἵνα πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ λάμπῃ τουτέστιν τοῖς ἐκκλησιαστικοῖς κατὰ τὸ κοινωνικόν.	μοδίῳ μὲν γὰρ σιτομετρείσθωσαν ὑπὸ τοῦ πιστοῦ καὶ φρονίμου οἰκονόμου οἱ σύνδουλοι, βλεπέτωσαν δὲ τὰς αὐγὰς τοῦ λύχνου ἐπικειμένου τῇ λυχνίᾳ καὶ εἰς φανερὸν διὰ λόγου προαγομένου ἐν τῇ οἰκίᾳ πάντων τῇ ἐκκλησίᾳ. ἀλλ' οὐδὲ »ὑπὸ τὴν κλίνην« τιθέασι τὸν λύχνον, ἔνθα τις ἀναπαύεται, οὐδὲ ἄλλου τινὸς σκεύους ὑποκάτω, τοῦτο γὰρ ὁ ποιῶν οὐ προνοεῖται τῶν εἰσπορευομένων εἰς τὴν οἰκίαν.	μοδίῳ μὲν γὰρ σιτομετρείσθωσαν ὑπὸ τοῦ πιστοῦ καὶ φρονίμου οἰκέτου οἱ σύνδουλοι, βλεπέτωσαν δὲ τὰς αὐγὰς τοῦ λύχνου ἐπικειμένου τῇ λυχνίᾳ ἤγουν τῇ ἐκκλησίᾳ πάντες. ἀλλ' οὐδὲ »ὑπὸ τὴν κλίνην« τιθέασι τὸν λύχνον, ἔνθα τις ἀναπαύεται, οὐδὲ ἄλλου τινὸς σκεύους ὑποκάτω· τοῦτο γὰρ ὁ ποιῶν οὐ προνοεῖται τῶν εἰσπορευομένων εἰς τὴν οἰκίαν.

6f—10f Vgl. Ex. 25, 30 — **6ff** Vgl. Luc. 12, 42 — **18** Vgl. Marc. 4, 21 — **22ff** Vgl. Luc. 8, 16

95 II.

Matth. 5, 15

Οἱ καίοντες τὸν λύχνον καὶ τιθέντες ἐπὶ τὴν λυχνίαν, ἵνα λάμπῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ, προτρέπονται καὶ τοὺς ἐν τῇ οἰκίᾳ βλέποντας τὴν τοῦ λύχνου λαμπρότητα καὶ αὐτοὺς καίειν τὸν ἑαυτῶν λύχνον. [*σπουδάζειν γὰρ χρὴ τὴν δοθεῖσαν ἡμῖν λαμπρότητα φυλάττειν ἐν ὑψηλῷ καὶ μὴ συγκαλύπτειν ἀργίᾳ, ἧς σύμβολον ἡ κλίνη ἀναπαύουσα τὸ σῶμα ταῖς σαρκικαῖς ἡδοναῖς· οὐ γὰρ φυσικῶς ἡμῖν, ἀλλ' ἐκ δόσεως τὸ καλόν. τὸ δὲ τοιοῦτον ἀμελούμενον ἀφίσταται. ἀπάγει δὲ ἡμᾶς τῆς ἰδίας φιλοδοξίας τὴν τοῦ θεοῦ δόξαν τέλος τῶν ἔργων προτιθείς.*]

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc} C^{luc} vgl. Or. IX 237, 28—31 (Schluß des längeren Origenes-Scholions, vgl. zu Nr. 95 I); Z. 3 *σπουδάζειν* — 8 *προτιθείς* in C^{la} 2 unter *'Ανεπιγράφου*, in C^{la} 1 C^{lc} unter *'Απολλιναρίου*, in C^{luc} fehlend

96.

Matth. 5, 16

Οὐ λέγει· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τοῦ θεοῦ· οὐδὲ γὰρ λύχνων φῶς λάμπει ἔμπροσθεν ἡλίου.

C^{la} 2.3 C^{lb} 1.5; dagegen C^{la} 1 C^{lc} unter *Θεοδώρου*

Ἐνώπιον τῶν ἀνθρώπων (φησὶ) λαμψάτω τὸ φῶς. οὐχὶ ἐνώπιον τοῦ θεοῦ (οἶδε γὰρ ὁ θεὸς τὰ ἔργα ὑμῶν), ἀλλ᾽ ἐνώπιον τῶν ἀνθρώπων, ἵνα δοξασθῇ ὁ θεὸς ὑπ᾽ αὐτῶν.

C^{p}

1ff Vgl. Orig. tom. II 17 in Joh. (Or. IV 74, 20ff): *οὐ γάρ ⟨φησιν⟩ »λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τοῦ θεοῦ . . . ὡς εἰ καὶ τοῖς λύχνοις . . . ἐντολὴν ἐδίδου τοῦ λάμψαι τὸ φῶς αὐτῶν ἔμπροσθεν τοῦ ἡλίου* — **6f** Vgl. Job 11, 11?

7 *ἡλίου* + *τοῦ αὐτοῦ· φῶς ἐστιν ἡ ἐνάρετος πολιτεία* C^{la} 2 C^{lc} (C^{lb} 1.5 stellen diese Zeile, zu der Nr. 75 u. 94 zu vergleichen ist, vor Z. 1); C^{la} 1 hat *φῶς—πολιτεία* unter 𝔊 und fährt fort mit *τοῦ αὐτοῦ· Οὐ δεῖ κτλ.*; in C^{lc} bedeutet das *τοῦ αὐτοῦ*: Theodor, und es geht weiter mit *οὐ δεῖ ἐν — ἄνθρωπος φωτισθῶσι* vgl. Heinrici 43 App. I a. 5

97.

Matth. 5, 17

Ὥσπερ τὸ νήπιον οὐ λυομένων τῶν σχημάτων ἢ τῶν μελῶν ἀνὴρ γίνεται ἀλλ᾽ αὐξανομένων, οὕτως καὶ τοῦτο ἀκούσῃ.

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc}

4 *ἀκούσῃ* + *ἡ μία γὰρ καὶ αὐτὴ ἀνθρωπότης γεννηθεῖσα ἐν θεοσεβείᾳ προκόπτει αὐξάνουσα ἐν τῇ ταύτης γνώσει* C^{la} 1. 2. 3 C^{lc}

Ὥσπερ ἐπὶ τῶν νεογνῶν παιδίων ἔστιν ἰδεῖν (προκόπτουσι γὰρ ἐπὶ τὸ ἀνδρῶδες οὐ τῆς μορφώσεως αὐτῶν καταλυομένης, ἀλλ᾽ αὐξανομένης μᾶλλον καὶ ἔτι μορφουμένης κρειττόνως), οὕτω γέγονε καὶ ἐπὶ τοῦ νόμου· οὐ λυομένου

C^{p}

7 *οὐ*] l. ⟨*οὐ*⟩ *οὐ*?

[μᾶλλον] ἡ νέα παραγέγονε διαθήκη ἀλλὰ μεμορφωμένου ⟨μᾶλλον⟩ καὶ τετελειωμένου ἀκριβέστερον. καὶ τοῦτό ἐστιν ἡ ἐν χάριτι διαθήκη, ἡ παλαιὰ ἀνακαινισθεῖσά τε καὶ μορφωθεῖσα.

8f. [μᾶλλον] . . . ⟨μᾶλλον⟩ Diehl

98.
Matth. 5, 17

Εἰ μέντοι ἐν τῷ νόμῳ λόγοι (ἔφη τις), μενοῦσι καὶ οὐ παρελεύσονται· καὶ γὰρ αὐτοὶ οὐ βλεπόμενοι καὶ αἰώνιοί εἰσιν. οὐ καταλύει δὲ τὸν νόμον οὐδὲ ἐν σαββάτῳ λέγων· »ἆρον τὸν κράββατόν σου καὶ περιπάτει«. καταλύειν δὲ δοκεῖ τὸ γράμμα, ἵνα τὸ πνεῦμα στήσῃ ναοῦ, θυσιαστηρίου, θυσιῶν, καθαρισμῶν, ἀρχιερέων, ἡμέρας ἱλασμοῦ, σαββατισμοῦ γῆς καὶ τῶν λοιπῶν. δόξει δὲ καὶ τὸ »ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου« καταλελύσθαι, πληροῦται δὲ μᾶλλον καὶ τότε.

C^a C^{la} 1. 2. 3 C^{lb} 1 C^{lc}

2 Vgl. II. Kor. 4, 18 — 3 Joh. 5, 11 — 6 Matth. 11, 13

1 εἰ μέντοι — καὶ (so C^a)] οἱ λόγοι τοῦ νόμου C^{la} 1. 2 C^{lb} 1 C^{lc} 6—7 δόξει — τότε < C^a

99.
Matth. 5, 18. 19

Μία δὲ κεραία οὐ παρ' Ἕλλησι μόνον ἐστὶν τὸ ἰῶτα, ἀλλὰ καὶ παρ' Ἑβραίοις τὸ παρ' αὐτοῖς καλούμενον ἰῶθ. δύναται δὲ τὸ ἰῶτα ἓν ἢ μία κεραία συμβολικῶς λέγεσθαι ὁ Ἰησοῦς, ἐπείπερ ἡ ἀρχὴ τοῦ ὀνόματος αὐτοῦ οὐ παρ' Ἕλλησι μόνον, ἀλλὰ καὶ παρ' Ἑβραίοις ἀπὸ τοῦ ἰῶθ γράφεται, καὶ ἔσται ἡ μία κεραία ὁ Ἰησοῦς, ὁ λόγος τοῦ θεοῦ ἐν τῷ νόμῳ οὐ παρερχόμενος αὐτὸν ἕως πάντα γένηται. ἰῶτα δ' ἂν εἶεν (ὥς αὐτός φησι) καὶ αἱ δέκα ἐντολαὶ τοῦ νόμου· πάντα γὰρ παρέρχεται καὶ αὗται οὐ παρέρχονται. ἀλλ' οὐδὲ ὁ Ἰησοῦς παρέρχεται· κἂν πέσῃ »ἐπὶ τὴν γῆν«, ἑκουσίως πίπτει, ἵνα »καρπὸν πολὺν« φέρῃ. τὸ δὲ ἰῶτα ἓν ἢ μία κεραία πάλιν τὰ ἄνω καὶ τὰ κάτω περικρατεῖ.

C^a C^{la} 1. 2. C^{lb} 1. (5 ?) C^{lc} C^{luc} Nr. LXXV, 3—8 vgl. Or. IX 270

8f Vgl. Joh. 12, 24

4 μόνοις C^{la} 1 | τοῦ ἰῶτα ιωθ C^{la} 1 5 ἡ] οὕτως τὸ ἰῶτα ἓν ἢ C^{luc} 6 ἰῶτα — 10 περικρατεῖ < C^{luc} 9 ἢ μία κεραία < C^a

100.

Matth. 5, 19

Ὃς ἂν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ.

1ff Zu diesem Textwort steht in C^{a} ein ὡ, während das folgende Scholion (Ὅτι μὲν οὖν κτλ.) unter Ἀπο (Ἀπολλιναρίου) steht. 10 Zeilen tiefer folgt unter ὡ (= Ὡραίου) ein Scholion ὅταν δὲ ἀκούσῃς — γέενναν ἐμπεσεῖται, das tatsächlich ein Exzerpt aus Chrysostomus hom. 16 p. 208 AB darstellt.

101.

Matth. 5, 22

Εἰ ὁ τὸν ἄνθρωπον ἁπλῶς καλῶν μωρὸν ἔνοχός ἐστι ταῖς εἰρημέναις κολάσεσι, πῶς οὐ μειζόνων κολάσεων ἄξιός ἐστιν ὁ τὸν πιστὸν οὕτω καλῶν; οὐ γὰρ μόνον εἰς τὸν πιστὸν (καθ᾽ ὃ ἄνθρωπος) καθύβρισεν, ἀλλὰ καὶ εἰς τὸ μυστήριον τῆς πίστεως ἡμῶν. φρονίμους γὰρ καὶ σοφοὺς τοὺς πιστοὺς δεῖ καλεῖν, ἀλλ᾽ οὐ μωρούς τε καὶ ἀναισθήτους.

C^{p}

2 πῶς οὐ] l. πόσῳ? Kl

102 I.

Matth. 5, 25. 26

Ἀντίδικός ἐστιν ὁ τῆς σωτηρίας ἡμῶν ἐναντίος καὶ ὁ τοῖς θελήμασιν ἐναντίος καὶ ὁ πλησίον ἐν τοῖς λυπηροῖς. καὶ ὁ μὲν πρῶτος ὁ διάβολος, ὁ δὲ δεύτερος ἡ ἐντολή,

C^{la} 1. 2. 3 C^{lb} 1. 4. (5?) C^{lc} (in C^{lc} geht voraus: οὐ προσέθηκεν εἴτε δικαίως εἴτε ἀδίκως. τοῦτο δὲ βούλεται εἰπεῖν; in 2 Hss. Heinricis unter Βασιλείου oder Σευήρου

1—7 Vgl. Chrysostomus hom. 16 p. 219 C unter τινὲς ... φασι

Διχῶς νοητέον τὸν ἀντίδικον· ὁτὲ μὲν τὸν διάβολον, ὁτὲ δὲ τὸν τοῖς θελήμασιν ἡμῶν ἀντικείμενον ⟨νόμον⟩. καὶ ὁ μὲν διάβολος πρῶτός ἐστιν ἀντίδικος, δεύτερος δὲ ἡ ἐντολή.

C^{p}

3 ⟨νόμον⟩ Zahn Forschungen 2, 38

καὶ ὁ τρίτος ⟨ὡς⟩ εἴρηται. πῶς δὲ εὐνοοῦμεν ἑκάστῳ, ζήτει.

οὐκοῦν παραινεῖ ὁ Χριστὸς πρὸς ἀμφοτέρους διαλλαγῆναι, τουτέστι πρὸς μὲν τὸν διάβολον ὡς μὴ ἔχοντάς τι ἐν τῇ κρίσει τῶν ἐκείνῳ φίλων, πρὸς δὲ τὴν ἐντολὴν ὡς πάντα τελέσαντας τὰ παρ' αὐτοῦ ἐντεταλμένα· εἰ μὴ γὰρ οὕτω πρὸς τὴν κρίσιν ἔλθῃς, τὸν ἔσχατον κοδράντην ἀποδώσεις.

ὁδὸς γάρ ἐστιν οὗτος ὁ βίος.

6 Vgl. Hier. in Matth. 28 B: *alii . . . adversarium diabolum interpretantur et volunt . . ., ut . . . nec faciamus eum poenas sustinere pro nobis* — **15** Vgl. Hier. in Matth. 27 D: *dum in istius saeculi via currimus*

6 ⟨ὡς⟩ Elt

102 II.

Matth. 5, 25. 26

Ἕως εἶ (φησί) κατὰ τὸν βίον τοῦτον (ὁδὸς γὰρ ὁ βίος ὑπὸ πάντων ἀνθρώπων παροδευόμενος), προσδέχου καὶ μὴ παραλογίζου τὴν ἐκ τοῦ συνειδότος ὑπόμνησιν. εἰ δὲ καὶ παραλογίσῃ καὶ παραδράμῃς τὸν βίον, αὐτὸ τὸ συνειδὸς ἀντιδίκου τάξιν ἐπέχον ἐπὶ τοῦ κριτοῦ κατηγορήσει καὶ ὑπὸ τὴν ψῆφον ποιήσει σε τοῦ δικάζοντος, καὶ παραδοθήσῃ ταῖς ἀνηκέστοις κολάσεσιν. ἃ οὐκ ἂν ἔπαθες, εἴ γε κατὰ τὴν ὁδὸν εὔνοιαν ἐκτήσω πρὸς τὸν ἀντίδικον, τοὺς ἐλέγχους ὡς μετ' εὐνοίας προσφερομένους καταδεχόμενος. τοῦτο γὰρ καὶ ὁ θεσπέσιος εὐαγγελιστὴς Ἰωάννης ἐπιστέλλων φησίν· »ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν«.

C[la] 2, wo *τοῦ αὐτοῦ* = Origenes zu sein scheint (in anderen Hss = *Ἀνεπιγράφου* oder *Σεβήρου*). Z. 1f entspricht Nr. 102 I Z. 15

9 Vgl. I. Joh. 3, 21 (über Origenes' Text s. Tischendorf z. St.)

103.

Matth. 5, 27. 28

Ἡ συγκατάθεσις τῆς ἁμαρτίας τελεία τίς ἐστι κακία, κἂν μὴ πράξῃ τις αὐτήν. κἀντεῦθεν ὁ σωτὴρ ἀναχαιτίζων ἡμᾶς τῆς τῶν ἁμαρτημάτων αἰτίας ταύτην ἐκκόπτειν πειρᾶται· μὴ οὔσης γὰρ ταύτης ἐν ταῖς ἡμετέραις ψυχαῖς οὐ συμπερανθήσεται πρᾶξις.

C[p]

1f Vgl. Hier. in Matth. 29 A: *si vero consenserit . . . de propassione transivit ad passionem, et huic non voluntas peccati deest, sed occasio*

104.
Matth. 5, 32

Ἰστέον δὲ ὅτι ἐν πολλοῖς οὐχ εὕρομεν τὸ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται.

C[a]

1 f D. h., wie heute D codd. it und wie ehemals codd. ap. Aug. (Tischendorf)

105.
Matth. 5, 33

»Οὐ λήψῃ τὸ ὄνομα τοῦ κυρίου ἐπὶ ματαίῳ« τῆς δεκαλόγου τρίτη ἐντολή. ζήτει δὲ εἰ καὶ οὕτως εἴρηταί που ὡς ἐνθάδε γέγραπται.

C[a]

1 Ex. 20, 7 — Deut. 5, 11

106.
Matth. 5, 33—37

Ἔστω δὲ ἡ τοῦ βίου ἡμῶν μαρτυρία βεβαιοτέρα ὅρκου. εἰ δέ τις ἀναιδὴς μὴ δυσωπούμενος ὑμῶν τῷ βίῳ τολμᾷ ὑμῖν ἐπαγαγεῖν ὅρκον, ἔστω ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὒ ἀντὶ ὅρκου.	*Τὸ οὐκ ἐπιορκήσεις καὶ τὰ ἑξῆς. ἐάν τις ἀναιδὴς ἐπάγῃ τοῖς ἁγίοις ὅρκον, ἀντὶ τοῦ ὅρκου ἔσται αὐτοῖς τὸ ναὶ καὶ τὸ οὔ.*	*Κωλύει τὸν ὅρκον ὁ Χριστός, ἵν' ὁ βίος ἡμῶν ᾖ ἀληθής τε καὶ ἀκίβδηλος. εἰ δέ τις ἡμῖν μὴ πιστεύσειεν ἀναιδής, δεῖ πρὸς αὐτὸν λέγειν τὸ ναὶ ἢ τὸ οὔ.*
C[la] 1. 3 C[lc] f. 34[a]	C[c] 1. 2 (beide unter *Ὠριγένους Κυρίλλου*) C[lc] f. 33[a]; vgl. *II* 53, 22	C[p]
2 l. *ὑμῶν* ? Kl, vg. Z. 6		3 *ᾖ* Diehl *εἴη* C[p]

107.
Matth. 5, 37

Εὐορκῶν μὲν γάρ τις τυχὸν παρασφάλλεται, μὴ ὀμνὺς δὲ οὐκ ἄν τίς ποτε ἐπιορκήσειεν. ὅρκον δὲ εὑρήσεις τὴν ἀμετάθετον ἑκάστου βεβαίωσιν, ὡς ἐν τῷ »ὤμοσα καὶ ἔστησα« καὶ »ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται«.

C[la] 1. 3 C[lc]

2 Vgl. Hebr. 6, 16 — 3 Ps. 118, 106 — Ps. 110, 4

108.
Matth. 5, 39

Οὐ περὶ ἀνεξικακίας μόνον λέγει προστιθεὶς τῇ σιαγόνι τῇ δεξιᾷ καὶ τὴν ἄλλην· παρὰ φύσιν γὰρ καὶ ἐνυβρίζων ταύτην τύπτει. ὁ οὖν ἕτοιμος »πρὸς ἀπολογίαν παντὶ« περιπεσὼν κακοήθει περὶ τῆς ἐν αὐτῷ πίστεως οὐκ ἀντιστήσεται, τύπτοντι δὲ δεξιὰ τὰ λογικὰ δόγματα παραθήσει καὶ τὰ ἠθικά, δυσωπῶν παύσασθαι τῆς κατηγορίας [καὶ] τῆς προκοπῆς τῆς ἐπὶ τοῖς θειοτέροις σκανδαλιζούσης τοὺς μὴ βλέποντας αὐτὸν τὸν λόγον.

C^{lb} 1. 5, von Z. 3 *περὶ* an auch C^{la} 1. 2. 3 C^{lc}

3 Vgl. I. Petr. 3, 15 — 4ff Vgl. Hier. in Matth. 31 C: *si nos haereticus in disputatione percusserit et dextrum dogma voluerit vulnerare* etc.

4 *λογικά,* wie Or. Fragm. XIV in Thren. (Or. III 241, 4)] *θεολογικά* C^{la} 1 C^{lc} 5 [*καὶ*] Elt | *κακηγορίας*? Diehl

109.
Matth. 5, 45

Ὁ μιμητὴς θεοῦ καὶ Χριστοῦ τὸν ἐν αὐτῷ λόγον ἥλιον καὶ τὴν ἐν αὐτῷ λάμπουσαν δικαιοσύνην ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ τὸν διὰ στόματος λόγον αὐτοῦ ὑετὸν οἰκονομικῶς βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, τουτέστιν ἁμαρτωλούς.

C^{a} C^{c} 1. 2 C^{lc}; C^{lb} 1. 5 unter Theodor von Heraklea

Δεῖ τὸν μιμητὴν τοῦ Χριστοῦ κατὰ πάντα μιμεῖσθαι αὐτόν, καὶ καθάπερ ἐκεῖνος ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίους τε καὶ ἀδίκους οὕτω καὶ τοῦτον ἐφαπλοῦν τὴν ἀγάπην ἐπὶ τοὺς φιλοῦντάς τε αὐτὸν καὶ μισοῦντας.

C^{p}

1ff Vgl. tom. VIII, 17 in Joh. (Or. IV 350, 6ff) 6 *ὑετὸν*] eine wirkliche Variante?, vgl. Or. IV 350, 11 Clemens Al. II 238, 12 (I 141, 31 steht zwar *υἱὸν*, aber ist vielleicht auch *ὑετὸν* zu lesen). Vgl. auch Clem. hom. 3, 57

110.
Matth. 5, 46—48

Ἀτελὲς μὲν τὸ ἀγαπᾶν τοὺς ἀγαπῶντας μόνον· τοῦτο γὰρ δοκεῖ διὰ κέρδος γεγονέναι καὶ οὐ δι' ἀρετήν. τὸ δὲ καὶ τοὺς μισοῦντας ἀγαπᾶν δι' αὐτὸ τὸ τῆς ἀγάπης καλόν ἐστι καλὸν καὶ τέλειον καὶ οὐ δι' ἄλλο τι.

C^{p}

2f Vgl. Luc. 6, 27

111.

Matth. 5, 48

Τέλειος ὁ πάσας ἔχων τὰς ἀρετὰς ἢ ὁ εἰς τέλος ἀγαθός.

C^{a} i. m. *ιϭ*, es geht aber kein Schlußzeichen vorher; vgl. *II* 56, 14 f

112.

Matth. 5, 48

Τέλειός ἐστιν ἄνθρωπος ὁ ἐν μιμήσει θεοῦ ἐν τοῖς ἰδίοις μέτροις.

C^{la} 2. 3 C^{lb} 1. 5 Coisl. 206; C^{la} 1 und Ambros. D inf. 466 (976) unter *Ἀπολλιναρίου*

113.

Matth. 6, 1. 2

Ἐν ἄλλοις ἀντιγράφοις τὴν δικαιοσύνην φησί. σκοπὸν δὲ τῆς ἐλεημοσύνης προτίθησιν ἡμῖν τὴν παρὰ θεῷ δόξαν, οὐ τὴν παρὰ ἀνθρώποις. οἷς γάρ τις ἀρέσκειν βούλεται, παρὰ τούτων μισθὸν ἔχει τὸν ἔπαινον. οὐ μὴν ὁ θεαθεὶς ἤδη πρὸς τὸ θεαθῆναι πεποίηκεν, ἀλλ' ὁ θεωρεῖσθαι βουλόμενος καὶ τοῦτο ποιῶν.

C^{la} 1, ebenso Ambros. D inf. 466 (976); in C^{la} 3 als Apollinaris-Scholion

1 Die Lesart *δικαιοσύνην* (nicht *ἐλεημοσύνην* W Θ) wie in B D syr^{s} it — 2 ff Vgl. Hier. in Matth. 33 B: *non dei mercedem sed suam; laudati sunt enim ab hominibus, quorum causa exercuere virtutes* — 4 f Sachparallele bei Chrysostomus hom. 19 p. 245 A

114.

Matth. 6, 1

Ὥσπερ πυρὶ ὕδωρ ἀεὶ μαχόμενόν ἐστι καὶ πῦρ ὕδατι καὶ οὐδ' ἄν ποτε συσταίη τὰ τοιαῦτα ὁμοῦ, οὕτω κενοδοξία καὶ ἀρετὴ ἀλλήλων εἰσὶν ἐναντία καὶ οὐδέποτε ἐν μιᾷ καὶ τῇ αὐτῇ ψυχῇ συνυπάρχειν δύνανται. οὐκοῦν ἐξοριστέον τῶν ἡμετέρων ψυχῶν τὴν κενοδοξίαν καὶ τοῖς διατάγμασιν ἐμμενετέον τοῦ Χριστοῦ.

C^{p}

2 ⟨*καὶ*⟩ *κενοδοξία* Diehl 3 *τῇ αὐτῇ* Kl *τοιαύτῃ* C^{p}

115.
Matth. 6, 3

Τὸ δεξιὸν καὶ καθῆκον ἔργον γινώσκει ἡ ἀριστερά, ὅτε μολύνεται ὑπὸ φιλοδοξίας.

C^{c} 1. 2. 3; vgl. (unter *ἄλλως τε*) *Π* 57, 15ff

1f Vgl. Hier. in Matth. 33 A: *non solum elemosynam sed quodcumque facientes boni operis, debet sinistra nescire; si enim illa scierit, statim dextra opera commacula[n]tur* — 1 *ὅτε οὐ μολύνεται Π*

116.
Matth. 6, 5

Οὐκ ἔστι πονηρὸν τὸ εὔχεσθαι ἐν τῇ ὁδῷ. καὶ γὰρ ἐν ὁδῷ καὶ ἐν κλίνῃ καὶ ἐν τραπέζῃ καὶ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ καλόν ἐστι τὸ εὔχεσθαι καὶ ποιεῖν ἀγαθόν.

C^{p}

117.
Matth. 6, 5. 6

Φαῦλον δὲ καὶ τὸ μὴ ἐπ' εὐθείας εὔχεσθαι, ἀλλ' ἐν γωνίαις, αἵ εἰσιν εὐθεῖαι κεκλασμέναι, καὶ ἐν πλατείαις, ὧν αἱ ὁδοὶ ἀπάγουσιν »εἰς τὴν ἀπώλειαν«. [εἶτα διαβαλὼν τοὺς οὐ προσηκόντως χρωμένους τῇ εὐχῇ καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τῆς διαθέσεως εἰσάγει τὸν ἄριστον τῆς προσευχῆς τρόπον καί φησι· σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε.]

C^{1b} 4, andere Hss. als Stück in einem anonymen Scholion; vgl. *Π* 58, 17—59, 1. Z. 3 *εἶτα* — Schluß ist jedenfalls Chrysostomus hom. 19 p. 247 C

1f Vgl. *περὶ εὐχῆς* 19, 3 (Or. II 342, 27ff) — 2 Vgl. Matth. 7, 13

118.
Matth. 6, 7. 8

Τινὲς ᾠήθησαν τὸν κύριον ἐν τούτοις ἀπαγορεύειν τῆς προσευχῆς τὸ πλῆθος, σφόδρα ἀποσφαλέντες τῆς ἀληθοῦς διανοίας τῶν ῥητῶν. ποῦ γὰρ ἔχει χώραν τοῦ ἀποστόλου τὸ παράγγελμα· »ἀδιαλείπτως προσεύχεσθε«; ὁ δέ γε κύριος οὐ πλῆθος ἐνταῦθα ἀναιρεῖ προσευχῆς ἀλλ' ἀτοπίαν αἰτήσεως· βαττολογία γὰρ οὐχ ἡ πολυλογία λέγεται, ἐὰν ἄριστα ᾖ τὰ λεγόμενα, ἀλλ' ἡ ἄκαιρος φλυαρία.

C^{1a} 1. 2. 3 C^{1b} 5, in C^{1b} 1 nur Z. 5f. *βαττολογία—φλυαρία*; zu Z. 5f vgl. Chrysostomos hom. 19 p. 249 A *βαττολογίαν ἐνταῦθα τὴν φλυαρίαν λέγων*

3 I. Thess. 5, 17

119.
Matth. 6, 9. 10

῞Αγιος γὰρ ὢν ἐν ἁγίοις κατοικεῖ. »ἔσεσθε«, γάρ φησιν, »ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι«. οὐδεὶς δὲ (οἶμαι) βέβηλος καὶ ἀκάθαρτος καὶ πόρνος δύναται ἁγιάζειν τὸ ὄνομα τοῦ θεοῦ· ᾧ γὰρ ἡγίασται τοῦτο, συμβέβηκεν αὐτῷ ἁγίῳ γεγονέναι. καὶ τότε εὔχεται ἐλθεῖν τὴν βασιλείαν λέγων· ἐλθέτω ἡ βασιλεία σου, ὅταν μὴ βασιλεύῃ θάνατος ἐν αὐτῷ οὐδὲ ἡ βασιλεύουσα ἁμαρτία ἐν τοῖς ἀνθρώποις. θεὸς γὰρ ὢν βασιλεύει πάσης γογικῆς ψυχῆς, ὅπου μηδεὶς ἄλλος βασιλεύει.

C^{1a} 1. 2. 3 C^{1b} 1. 5 C^{1c}

1 Lev. 19, 2 u. ö. — **5f** Vgl. Röm. 5, 14. 21

3 *ἡγίασται, τούτῳ* C^{1a} 1 **4f** *ἐλθέτω — σου* < C^{1b} 5 **5ff** *ὅταν—βασιλεύει* unter *᾿Ανεπιγράφου* C^{1b} 1

120.
Matth. 6, 9

[*Τὸ δὲ ἁγιασθήτω τὸ ὄνομά σου δηλοῖ τὸ δοξασθήτω διὰ τῆς ἡμετέρας ζωῆς, τουτέστι· καταξίωσον (φησίν) οὕτως πολιτεύεσθαι ἡμᾶς καθαρῶς, ὡς δι᾽ ἡμᾶς ἅπαντάς σε δοξάζειν.*]

C^{1c}; in der Tat Exzerpt aus Chrysostomus hom. 19 p. 250 CD

121.
Matth. 6, 9

Τὸ ἁγιασθήτω οὐ προστακτικῶς εὐκτικῶς δέ, οἷον ἁγιασθείη· οὐχ ἵνα ἐκ βεβήλου ἁγιασθῇ, ἀλλ᾽ ἵνα ἡμῖν ἀποκαλυφθείσης τῆς ἁγιότητος αὐτοῦ ἀξίως αὐτοῦ διδῶμεν ἁγιότητα ὀνομάζοντες θεόν.

C^{1b} 5 unter *τοῦ αὐτοῦ* (hinter Nr. 119) d. h. Origenes; vgl. *II* 61, 8—11

1ff Vgl. Origenes *περὶ εὐχῆς* 24, 5 (Or. II 355, 23ff) *συνεχῶς προστακτικοῖς ἀντὶ εὐκτικῶν ἐχρήσαντο καὶ οἱ ἑρμηνεύσαντες κτλ.*

3 *θεόν*] C^{1b} 5 fährt ohne Schlußzeichen in dem Text von *II* 61, 10 *βασιλείαν δὲ θεοῦ* fort, bis 62, 13 *τοῖς ἁγίοις* oder sogar 63, 14 *τοῦ ἀμήν*

122.

Matth. 6, 11

Οὕτω καί φασί τινες τὸ ἐπιούσιον παρὰ τὸ ἐπιέναι καὶ ἐπέρχεσθαι, ἵν᾽ ᾖ τοιοῦτον τὸ λεγόμενον· τὸν μὴ τοῦ ἐνεστῶτος αἰῶνος οἰκεῖον ἄρτον ἀλλὰ τοῦ μέλλοντος καὶ μετὰ ταῦτα ἀποδοθησόμενον ὑπό σου τοῖς ἀξίοις λαβεῖν ἤδη δὸς ἡμῖν σήμερον καὶ »καθ᾽ ἡμέραν«. ἐπείπερ ἡ οὐσία ἡ ἑστῶσα βέβαιος (οἵα οὐδεμία σωματικὴ γινομένη ῥευστῶς καὶ ἀπογινομένη), ἣν τρέφει »θεὸς« ὢν »ὁ λόγος« ζῶν ἄρτος, ἀφ᾽ οὗ νηστεύουσιν ⟨ὅτε⟩ ἀφῄρηται ὁ νυμφίος ὁ τὴν ἀόρατον ψυχὴν ἀοράτως τρέφων (διό φησιν ὁ σωτήρ· »ὁ τρώγων τὸν ἄρτον τοῦτον ζήσεται εἰς τὸν αἰῶνα«) — ἐπεὶ οὖν οὐ δεῖ νηστεύειν (φασίν) ἀπὸ τοῦ ἄρτου τούτου, λέγομεν· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον καὶ τὰ ἑξῆς.

Cᵃ: unter ΘΕ/ιϐ. Vielleicht beginnt ιϐ erst mit Z. 4 ἐπείπερ? Vgl. Orig. περὶ εὐχῆς 27, 8 (Or. II 367, 13ff). Zu Z. 1—4 vgl. Π 62, 12f, zu Z. 4—6 Π 62, 13—63, 1

4 Vgl. Luc. 11, 3 — 6 Vgl. Joh. 1, 1 — 6f Vgl. Matth. 9, 14. 15 — 8 Joh. 6, 58
6 νηστεύσουσιν Diehl nach Matth. 9, 15 | ⟨ὅτε⟩ Kl nach Matth. 9, 15

123.

Matth. 6, 13

Εἰ »πειρατήριον ὁ βίος«, οὐκ ἔστι μὴ πειρασθῆναι, ἀλλὰ μὴ ἡττηθῆναι ἐν πειρασμῷ· ὁ γὰρ κατ᾽ ἀξίαν παραδιδόμενος »εἰς πάθη ἀτιμίας« ἢ »ἀδόκιμον νοῦν« εἰς πειρασμὸν εἰσέρχεται, ὁ δὲ ἐν πάλῃ νικῶν οὔτε ὑπὲρ ὃ δύναται *** πειραζόμενος καὶ μὴ ἐγκαταλειπόμενος ⟨οὐκ εἰσέρχεται εἰς πειρασμόν⟩.

Cᵃ; vgl. zu Z. 3f. Π 63, 7f

1ff Vgl. Orig. περὶ εὐχῆς 29, 1ff (Or. II 381, 23ff) — 1 Vgl. Job 7, 1 — 2 Vgl. Röm. 1, 26. 28 — 3f Vgl. I. Kor. 10, 13

3 *** Diehl   4 ⟨οὐκ — πειρασμόν⟩ Kl nach Π

124.

Matth. 6, 13

»Διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς« ἐκκλίνειν αἰτούμεθα τὸν πειρασμόν.

Cˡᵃ 1. 3. Cˡᶜ

1 Vgl. Röm. 6, 19

125.

Matth. 6, 22. 23

*Ζήτει πῶς νῦν σῶμα ὀνομάζει τὴν ψυχήν, ἧς ὀφθαλμὸς ὁ νοῦς, πότερον τὸ λοιπὸν αὐτῆς παρὰ τὸν νοῦν — εἴη δὲ τὸ λοιπὸν μετὰ τοῦ σώματος. λέγει δὲ ὅτι τὸ διορατικὸν ἐν ὅλῳ ἀνθρώπῳ ὁ νοῦς ἐστιν καὶ *** Ἰουδαϊκῶς. ἐπεὶ δὲ ὁ νῦν καιρὸς τοῖς ἁγίοις νύξ. καὶ ἡ ἐν ἡμῖν νοητικὴ φύσις τοσαύτη ὡς εἶναι λύχνος.*

C^a: unter $\overset{o}{A\Pi}$ (d. h. *ἀπορία*: zu Z. 3 i. m. $\frac{\Lambda}{Y}$ = *λύσις*) $\Sigma\overset{o}{X}$ *ιϛ*

1ff Vgl. Hier. in Matth. 36 A: *hoc totum transfer ad sensum.* — 3 Vgl. das Katenenfragment zum Lukas Or. IX 258, 3f

2 *πότερον*] ohne zweites Glied der Folge, vgl. z. B. Clem. Al. III 21, 13
3 *** Kl | *οὐδαϊκῶς* C^a

126.

Matth. 6, 22. 23

Τινὲς δὲ τὸ λύχνος τοῦ σώματός ἐστιν ⟨ὁ⟩ ὀφθαλμὸς περὶ τοῦ διδασκάλου τῆς ἐκκλησίας εἰρῆσθαι ἔφασαν. ἀλλά μοι δοκοῦσιν οὐκ ἐπεσκέφθαι πᾶσαν τῶν εἰρημένων τὴν ἀκολουθίαν ἄνωθεν. ἤρξατο γὰρ »μὴ θησαυρίζετε«, εἶτα παρενθεὶς τὸ ὁ λύχνος τοῦ σώματος καὶ τὸ »οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν« ἐπήγαγεν· »οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ«. δι' ὅλου δεικνύων ὅτι σκοπὸς ἦν αὐτῷ τοὺς ἀκούοντας ἀποστῆσαι τῆς περὶ τὰ παρόντα σπουδῆς.

C^a unter *Θε ιϛ*

3 Matth. 6, 19 — 4 Matth. 6, 24 — 5 Matth. 6, 24

1 ⟨*ὁ*⟩ Diehl Kl

127.

Matth. 6, 22. 23

Ἁπλοῦς ὀφθαλμός ἐστιν ὁ ὡς ἔχει τὰ πράγματα βλέπων καὶ οὔτε δύο τὸ ἓν οὔτε μεῖζον τὸ μικρότερον οὔτε ψευδόμενον τὸ χρῶμα. ὁ δὲ μὴ ἁπλοῦς πονηρός. ὡς δὲ ἰδίᾳ ὀφθαλμὸς πονηρός ἐστιν, ὅτε οὐκ ἐνεργεῖ κατ' ὀφθαλμοῦ ἀρετήν, οὕτως καὶ ἕκαστον μέλος τῆς ψυχῆς ⟨ὅλον τε τὸ σῶμα τῆς ψυχῆς⟩ σκοτεινὸν ⟨μὲν ἀναφανὲν πονηρίᾳ ὑπὸ τοῦ πονηροῦ, φωτεινὸν⟩ δὲ ἀπὸ τῆς διαυγοῦς ἁπλότητος. εἰ δ' οὖν ἐστι μέση ἕξις σπουδαίου καὶ φαύλου ὁ πολλὰ κατορθῶν τῶν περί τι, πῶς ὅλον τὸ σῶμα τῆς ψυχῆς

C^a; zu Z. 3—6 vgl. *Π* 65, 12—15

2 *ψευδόμενον τὸ ⟨ἀληθὲς οὔτε ἄχρουν τὸ⟩*? Diehl 4ff ⟨*ὅλον—ψυχῆς*⟩ und ⟨*μὲν—φωτεινὸν*⟩ Kl nach *Π*

ἕξει φωτεινόν; μήποτε ὡς λύχνος ἀμαυρὸς ἢ φανότερος οὕτως καὶ ἐπὶ νοῦ λεγομένου λύχνου τῆς πεφυκνίας εἰς τὸ νοεῖν οὐσίας, οὐ τῆς εἰς τὸ νοεῖν ἐπιμελείας, ὅτε λέγομεν· ὅδε νοῦν ἔχει. οὐ δύο δὲ σημαινόμενα νοῦ οἶδε τὸ εὐαγγέλιον.

10 *οἴδε* C^{a}, corr. Kl

128.
Matth. 6, 23

Ὅτε ὁ νοῦς ἡμῶν ὕλῃ ἐστὶ φίλος, τὸ ἐν ἡμῖν φῶς σκότος ἐστίν. ἐπαπορητικῶς δὲ λέγει οἷον· εἰ τὸ πεφυκὸς φωτίζειν ἐν σοὶ γενόμενον ἐν ἀγνοίᾳ σκότος ἐστίν, σκότους ἐπέκεινα »τὸ φρόνημα τῆς σαρκὸς« καὶ ἡ ἐπιθυμοῦσα »κατὰ τοῦ πνεύματος« σάρξ.

C^{a}; vgl. *II* 65, 15—18

3 Vgl. Röm. 8, 6 — 4 Gal. 5, 17

129.
Matth. 6, 24

Πᾶν τὸ ἔξω θεοῦ μαμωνᾶς ἐστιν, ὅστις καὶ »τῆς ἀδικίας« ὠνομάσθη. τὸ δὲ μαμωνᾶς ΧΡΗΜΑΤΑ ἑρμηνεύεται.

C^{la} 1. 3, so auch Ambros. D inf. 466 (976); dagegen C^{b} 1 unter *τοῦ αὐτοῦ* d. h. *Ἀνεπιγράφου*

1 Luc. 16, 9 — 2 Hier. in Matth. 36 C: *mam[m]ona sermone Syriaco divitiae nuncupatur*; vgl. Wutz Onom. sacra 367: *ἢ πέμματα* (= ?)

130.
Matth. 6, 24

Ἰστέον δὲ ὡς ὁ φαῦλος οὐ μισεῖ τὸν θεὸν καταφρονεῖ δὲ αὐτοῦ, καὶ οὐκ ἀγαπᾷ μαμωνᾶν ἀντέχεται δὲ αὐτοῦ. ὁ δὲ δίκαιος οὐκ ἀντέχεται θεοῦ ἀλλ' ἀγαπᾷ, οὐδὲ καταφρονεῖ τῶν φαύλων ὅσον μισεῖ.

C^{a} C^{la} 1. 2. 3, auch Ambros. D inf. 466 (976); zu Z. 1—3 vgl. *II* 66, 6—8, zu Z. 1f. vgl. den Schlußsatz eines Chrysostomus-Scholions in C^{p}: *θεὸν γὰρ οὐδεὶς μισεῖ, ἀλλὰ μόνον καταφρονεῖ*

3 *μισεῖ* + *δι' ὅλου δεικνὺς ὅτι σκοπὸς ἦν αὐτῷ τοὺς ἀκούοντας ἀποστῆσαι τῆς ἐπὶ τὰ παρόντα σπουδῆς* C^{la} 1 Ambros. D inf. 466 (976), vgl. oben Nr. 126 Z. 6 f

131.
Matth. 6, 25

Ἐπεὶ τὸ ἡδόμενον ἐν τῷ τρέφεσθαι ἡ ψυχή, οὐχ οὕτως ἡδομένη ἐπὶ τῷ σκέπεσθαι, διὰ τοῦτο τῇ μὲν ψυχῇ εἶπε τὸ τί φάγητε ἢ τί πίητε, τῷ δὲ σώματι τί ἐνδύσησθε.

$\mathrm{C^{a}}$: unter 𝔊𝔦 ᾠ ὠ (σημείωσαι, ὡραῖον, Ὠριγένους); vgl. *Π* 66, 13—67, 2. Sachparallele bei Chrysostomus hom. 21 p. 270 C 271 A?

1 f ἐπὶ τῷ Kl ἐπὶ τὸ $\mathrm{C^{a}}$ ἐν τῷ *Π* (ἐστὶ τοῦ $\mathrm{C^{1b}}$ l. 5) — **2** σκέπεσθαι] Heinrici 67 App. entscheidet sich fälschlich für σκέπτεσθαι

132.
Matth. 6, 34

Ἃ λέγουσιν οἱ πλούσιοι ἑσπέρας, τί φάγωμεν ἢ τί ⟨πίωμεν ἢ τί⟩ περιβαλώμεθα, ταῦτα κωλύει ὁ Χριστός.

$\mathrm{C^{p}}$

1 ⟨πίωμεν ἢ τί⟩ Kl

133.
Matth. 6, 34

Ὑπερβολικῶς ἀποκόπτειν ἡμᾶς θέλων ὁ σωτὴρ ἀπὸ τῶν βιωτικῶν πραγμάτων μηδὲ τὴν αὔριον μεριμνᾶν ἐδίδασκεν.

$\mathrm{C^{a}}$; Anklang bei *Π* 69, 19 (ἤτοι ὑπερβολικὸν)

134.
Matth. 6, 34

Ὁ μακάριος Παῦλός φησι· »ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν« (εἰ δὲ πονηραί, ἔστιν ἐν αὐταῖς καὶ κακία), καὶ Ἰακώβ· »μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι μου«. καὶ ὁ Μωσῆς ἐν Ψαλμῷ· »αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐταῖς ο̅ ἔτη« καὶ τὰ ἑξῆς. καὶ ὅλως ἐν τῇ γραφῇ αἱ ἡμέραι τοῦ αἰῶνος τούτου πονηραί. ὡς γὰρ ἅπαξ τόπος βεβηλοῦσθαι λέγεται ὑπὸ βεβήλου καὶ Ναζιραῖος ὑπὸ νεκρότητος τοῦ ἀποθανόντος »ἐπ' αὐτῷ«, οὕτως αἱ ἐπὶ τῷ κτίσαντι μὴ πονηραὶ ἡμέραι ὑπὸ τοῦ πονηροῦ καὶ φαύλου ποιωθεῖσαι μυστικῶς λέγονται εἶναι πονηραί. κακία δὲ πολλάκις λέγεται καὶ ἡ κάκωσις.

$\mathrm{C^{a}}$

1 Eph. 5, 16 — **3** Gen. 47, 9 — **4** Ps. 89, 10 — **5 f** Vgl. Lev. 21, 23? — **6** Vgl. Num. 26, 7. 9

8 ποιωθεῖσαι ⟨πονηραὶ⟩? Diehl

135.

Matth. 6, 34

Ἆρ' οὖν κακώσεως καὶ μόχθου καὶ ταλαιπωρίας καὶ πόνου ἡ παροῦσα ἡμέρα.

C[la] 1. 2. 3; dagegen in C[lb] 1. 5 Schlußsatz eines Apollinaris-Scholions

136.

Matth. 7, 2

Τὸ ἐν ᾧ μέτρῳ οὐδὲν ἄλλο ἐστὶν ἀλλ' ἢ ὅτι ἐν ᾧ νόμῳ κρίνετε, ἐν τούτῳ καὶ ὑμεῖς κριθήσεσθε. μέτρον γὰρ τῶν δικαίων ὁ νόμος.

C[p]

137 I.

Matth. 7, 6

Ἅγιον ὁ ἄρτος τῶν τέκνων. »οὐκ ἔστιν« δὲ »καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ τοῖς κυναρίοις βαλεῖν«. τοῖς οὖν ἀναιδῶς ἀνερυθριάστοις καὶ λοιδόροις ὑλακτικοῖς ἢ διὰ γαστέρα κόλαξιν, ὧν ἀντάλλαγμα οὐκ εἰσίει »εἰς οἶκον κυρίου«, μυστηρίων ἁγίων οὐ κοινωνητέον· οὐδὲ φιληδόνοις καὶ φαύλοις μεταδοτέον τῶν κοσμούντων τὴν νύμφην τοῦ λόγου μαργαριτῶν, μὴ τοῖς ἀκαθάρτοις καὶ βεβορβορωμένοις ποσὶ καταπατήσωσιν ⟨αὐτούς⟩. λέγει δὲ ταῦτα ὡς ἐμπόροις ζητήσασι καὶ ἔχουσι »καλοὺς μαργαρίτας«, οὓς τάχα ὁ μὴ ἔχων οὐδὲ μαθητὴς ὑπάρχει.

C[a]; zu Z. 2—6 vgl. Nr. 137 II

1f Vgl. Hier. in Matth. 38 D. *sanctum panis est filiorum; non debemus ergo tollere panem filiorum et dare eum canibus* — **1f** Vgl. Matth. 15, 26 — **3f** Vgl. Deut. 23, 18 — **7** Vgl. Matth. 13, 45

1 *τέκνων*] dahinter Schlußzeichen C[a], doch ist das Folgende wohl noch zugehörig   6 ⟨*αὐτούς*⟩ Elt

137 II.

Matth. 7, 6

Τὰ ἀνθρώπινα ἤθη κατά τινας τῶν ἁμαρτιῶν ἐξομοιοῦνται τοῖς ἀλόγοις ζῴοις, διόπερ ὀνόμασι κέχρηται ὁ σωτὴρ τούτοις, οἷς καὶ οἱ προφῆται·

C[la] 1. 3 C[lb] 1. 2. 5; zu Z. 10—16 vgl. Nr. 137 I

τοὺς μὲν γὰρ δι᾽ ἀκολασίαν ἵππους ἐκάλεσαν θηλυμανεῖς. καὶ ἄλλος φησί· »μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος οἷς οὐκ ἔστι σύνεσις«. Ἡρῴδης δὲ διὰ τὴν πανουργίαν ἀλώπηξ ὠνομάσθη. ἀλλὰ καὶ διὰ τὸ θανατηφόρον τοῖς ἀκούουσιν »ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν«. ἀλλὰ καὶ »γεννήματα ἐχιδνῶν« ἐλέγχθη ἄλλοις. ἵνα γὰρ δείξῃ τὴν διαφορὰν τῆς ἐν ἀνθρώποις ἐνεργουμένης ἁμαρτίας. ἑρπετῶν καὶ πετεινῶν καὶ τετραπόδων ὀνόμασιν ὠνόμασεν. πλὴν καὶ ἐξ αὐτῶν εἰς μετάνοιαν ἐκάλεσε κατὰ τὸ »ὅραμα« Πέτρου τὸ ἐν ταῖς Πράξεσιν λεγόμενον. κύνας οὖν ἐκάλεσε διὰ τὴν ἀναίδειαν τοὺς πρὸς τὰς ὕβρεις εὐκαταφόρους καὶ ἐν λοιδορίαις ὑλακτικοὺς καὶ εἰς τὸ κολακεύειν ἑτοίμους γαστρὸς ἕνεκεν καὶ διὰ τὸ ἀναιδὲς ἀνερυθριάστους. χοίρους δὲ τοὺς ἀπλήστους καὶ ἀκαθάρτους ἐν βορβόρῳ καὶ τοῖς ἀφοδεύμασι καταχρωμένους βρώσει. διόπερ οὐ χρὴ τούτοις κοινωνεῖν καὶ μεταδιδόναι. ἀφ᾽ ὧν ζῴων οὐδὲ ἀντάλλαγμα προσφέρειν δεῖ »εἰς τὸν οἶκον τοῦ θεοῦ«. πάντῃ γὰρ ἀλλότριον ἁγιασμοῦ τὸ ζῷον.

3ff Vgl. Orig. hom. 5, 4 in Gen. (Or. VI 62, 20—22) — **3** Vgl. Jer. 5, 8 — **4** Ps. 31, 9 — **5** Vgl. Luc. 13, 32 — **6** Ps. 139, 4 — Vgl. Matth. 3, 7 **8ff** Vgl. Act. 10, 12. 15 — **14f** Vgl. Deut. 23, 18

12 *ἀναιδὲς*] vgl. Nr. 137 I Z. 2

138 I.

Matth. 7, 7. 8

Τρισσῶς γὰρ ἡ τῶν σωτηρίων δογμάτων ἀλήθεια λαμβάνεται· περὶ τῆς εὑρέσεως αὐτῶν εὐχῇ καὶ τοῦ ἡγεμονικοῦ ἐν τῷ ζητεῖν τὰ πράγματα τάσει καὶ περὶ τοῦ εὑρεῖν συναισθήσει τῆς τῶν κεκρυμμένων γραφῶν *ἀσαφείας οἱονεὶ βίᾳ εἰς τὸ ἀνοίγεσθαι αὐτάς. τάχα δὲ αἰτεῖν δεῖ ἀπὸ* θεοῦ πατρός, ζητεῖν ἀπὸ ἁγίου πνεύματος, κρούειν τὸν εἰπόντα· »ἐγώ *εἰμι ἡ θύρα«. εἰ δ᾽ ὁ* α ἰ τ ῶ ν λ α μ β ά ν ε ι *καὶ τὰ ἑξῆς, ὁ μὴ λαβὼν οὐκ αἰτεῖ, εἰ καὶ δοκεῖ τι αἰτεῖν. καὶ ὁ μὴ εὑρίσκων οὐκ ἐζήτησεν τῷ μὴ ὀρθῶς μωρῶς δὲ ζητεῖν καὶ λογομαχεῖν ἐπ᾽ οὐδὲν χρήσιμον. ᾧ τε οὐκ ἀνοίγεται οὐ κρούει κἂν τοίχους ἢ τὰ ἔξω τῆς θύρας κρούῃ.*

C[a]; vgl. zu Z. 1 Nr. 138 II Z. 11f, zu Z. 1—4 vgl. *Π* 72, 7—73, 4

1ff Vgl. Orig. ep. ad Gregor. (Philocal. XIII ed. Robinson 67, 10ff): *μὴ ἀρκοῦ δὲ τῷ κρούειν καὶ ζητεῖν· ἀναγκαιοτάτη γὰρ καὶ ἡ περὶ τοῦ νοεῖν τὰ θεῖα εὐχή κτλ.* — **5** Joh. 10, 7 — **6ff** Hier. in Matth. 39 B: *si petenti datur . . . ergo cui non datur et qui non invenit et cui non aperitur, apparet quod non bene petierit, quaesierit, pulsaverit. pulsemus itaque ianuam Christi etc.*

1 *τρισσῶς—λαμβάνεται* Kl nach *Π* und Nr. 138 II Z. 11 *τρεῖς αἱ τῶν σωτηρίων δογμάτων ἀλήθειαι* C[a] **3** *τάσει* C[a] *Π* *καταστάσει* Hss von *Π* und Nr. 138 II Z. 14

138 II.

Matth. 7, 7

Ἵνα μὴ ἀγνοῶσιν οἱ μαθηταί, τίνες εἰσὶ κύνες ἢ χοῖροι ἐν τοῖς ἀκροαταῖς, ἐπιμόνως ζητήσατε (φησίν) ἐκ θεοῦ, καὶ ἀποκαλύπτεται ὑμῖν πάντα. ἀρχὴ μὲν γὰρ ἀρετῆς τὸ δι᾽ εὐχῆς γνῶναι τὸ ἀγαθόν, εἶτα τὸ εἰδέναι πῶς δεῖ ὁδεῦσαι τὴν ἀρετήν, τρίτον τὸ διὰ τῶν ἔργων κρούειν ἀνοιγῆναι αὐτῷ τὴν θύραν· τοῦτο γὰρ σημαίνει ἡ διὰ χειρῶν κροῦσις. τρισσῶς γὰρ ἡ τῶν σωτηρίων δογμάτων ἀλήθεια λαμβάνεται· ἐπιμελεῖ εὐχῇ, καὶ τοῦ ἡγεμονικοῦ ἐν τῷ ζητεῖν τὰ θεῖα καταστάσει, καὶ περὶ τοῦ εὑρεῖν συναισθήτως τῆς τῶν κεκρυμμένων γραφῶν ἀσαφείας τὸ βάθος ἀκριβεῖ πολυπραγμοσύνῃ. οὕτω γὰρ ἀνοίγεσθαί φησι τὰς γραφάς.

Ἀρχὴ ἀρετῆς τὸ εὔχεσθαι γνωρισθῆναί τινι τὴν ὁδὸν τῆς δικαιοσύνης, δεύτερος βαθμὸς τὸ ζητεῖν πῶς δεῖ ὁδεῦσαι τὴν ὁδόν, τρίτος τὸ ἁψάμενον τῆς ἀρετῆς κρούειν τῷ Χριστῷ, ἵνα ἀνοίξῃ αὐτῷ τὴν θύραν καὶ ἀπαλλάξῃ τῆς στενῆς ὁδοῦ καὶ τεθλιμμένης καὶ εἰσαγάγῃ αὐτὸν εἰς τὴν εὐρύχωρον γνωστικὴν ἐργασίαν, ἅπερ πάντα διὰ τῆς ἐκ θεοῦ καὶ πρὸς θεὸν δεήσεως λαμβάνει τις.

ἴσως δὲ καὶ τὸ μετὰ πράξεως αἰτεῖν καὶ πρὸς θεὸν δεήσεως αὐτῷ ᾐνίξατο διὰ τοῦ εἰπεῖν· κρούσατε. κρούει γάρ τις τῇ δεξιᾷ χειρί, ἀγαθῆς δὲ πράξεως σύμβολον ἡ δεξιὰ χείρ. [εἰ δὲ μὴ εὐθέως λαμβάνεις, μηδὲ οὕτως ἀπογνῷς· διὰ γὰρ τοῦτο εἶπε κρούετε, ὅτι κἂν μὴ εὐθέως ἀνοίξῃ τὴν θύραν, παραμένειν δεῖ. εἰ δὲ ἀπιστεῖς μου τῇ ἀποφάσει κἂν τῷ ὑποδείγματι πίστευσον].

C[ld] (aber heute jedenfalls ohne ϖ — gegen Gallandi), es entspricht jedoch Z. 8—10 Nr. 139 und Z. 11—18 Nr. 138 I. Vgl. zu Z. 1—18 *Π* 72, 3—73, 4

C[la] **1** (hinter Nr. 139 und w. e. sch. mit anderem Schluß). 3 C[lb] 1. 5; Z. 23 *εἰ*—Schluß stammt aus Chrysostomus hom. 23 p. 289 C

14 *κατατάσει* Diehl, vgl. Nr. 138 I Z. 3 **16** *ἀσαφείας* Kl nach Nr. 138 I *ἀσφαλείας* C[ld]

11f Vgl. Matth. 7, 13f

139.

Matth. 7, 7

Ζητεῖν ἐπιμελῶς δεῖ τὴν ἀλήθειαν τῶν δογμάτων, δεύτερον δὲ τὸν θεὸν αἰτεῖν ἵνα ἀποκαλυφθῇ ἡμῖν τὰ μυστήρια τῆς σοφίας τὰ ἀποκεκρυμμένα »ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν« τούτων, τρίτον ἵνα κρούσῃ καὶ εἰσελθὼν διὰ τῶν τῆς δικαιοσύνης θυρῶν ἐξομολογήσηται. ἐὰν οὖν ἑνὸς τούτων ἐλλείπῃ, οὐδενὸς τυγχάνει. ἔστιν οὖν ἐπιζητεῖν τὸ πνεῦμα τὸ ἅγιον, ἵνα δι' αὐτοῦ αἰτήσωμεν τὸν υἱόν, καὶ ἀνοίξας τὰς τῆς γραφῆς θύρας τὰ περὶ τοῦ πατρὸς γνωρίσῃ ἡμῖν· αὐτὸς γάρ ἐστιν »ἡ θύρα«. πῶς δέ τις λαμβάνει, ἐὰν μὴ πρῶτον αἰτήσῃ; πῶς δὲ εὑρίσκει, ἐὰν μὴ ζητήσῃ; πῶς δὲ εἰσέρχεται, ἐὰν μὴ κρούσῃ; ὁ συνετὸς οὖν αἰτεῖ, »ἵνα δοθῇ« αὐτῷ »λόγος ἐν ἀνοίξει τοῦ στόματος« αὐτοῦ. [αἰτεῖν ἐκέλευσε καὶ τὴν δόσιν ἐνηγγυήσατο. πλὴν οὐχ ἁπλῶς αἰτεῖν ἐκέλευσεν, ἀλλὰ μετὰ προσεδρείας πολλῆς καὶ εὐτονίας. τοῦτο γάρ ἐστι τὸ ζητεῖτε· καὶ γὰρ ὁ ζητῶν πάντα ἐκβαλὼν τῆς διανοίας πρὸς ἐκεῖνο τείνεται μόνον τὸ ζητούμενον καὶ οὐδένα τῶν παρόντων ἐννοεῖ. καὶ γὰρ ἴσασι τοῦτο ὃ λέγω ὅσοι οἰκέτας ἢ χρυσίον ἀπολέσαντες ἐπιζητοῦσιν. ἀπὸ δὲ τοῦ κρούειν τὸ μετὰ σφοδρότητος προσιέναι καὶ θερμῆς διανοίας ἐδήλωσεν.]

C^{la} 1. 3 C^{lb} 1. 5; Z. 10 *αἰτεῖν* — Schluß fehlen in C^{lb} 1. 5 mit Recht, sie stammen aus Chrysostomus hom. 25 p. 289 AB

2ff Vgl. Hier. in Matth. 39 B: *pulsemus itaque ianuam Christi, de qua dictum est: „haec porta domini, iusti intrabunt per eam", ut cum intraverimus aperiantur nobis thesauri absconditi* etc. — 3 Vgl. Kol. 1, 26 — 4 Vgl. Ps. 117, 20 — 7 Vgl. Joh. 10, 7 — 9f Eph. 6, 19

1 *ἐπιμόνως* Nr. 138 II Z. 3 | *δογμάτων* ⟨*πρῶτον*⟩? Diehl 16 *ἐδήλωσεν*] über C^{la} 1 s. zu Nr. 138 II

140.

Matth. 7, 9—11

Ταῦτα τῷ »αἰτεῖτε« ἐπιφέρεται προτρεπόμενα θαρρεῖν ἐν τῷ εὔχεσθαι. ὅρα δὲ εἰ ἄρτος μὲν ἡ ἀναγκαία τῆς ψυχῆς ἐν γνώσει τροφή, ἧς ἄνευ οὐκ ἔστι σώζεσθαι, οἷον ὁ περὶ τοῦ πῶς βιωτέον ἀκριβὴς λόγος. ἰχθῦς δὲ ἡ οἷον ὄψον φιλομάθεια, οἷον τὸ »εἰδέναι σύστασιν κόσμου, ἐνέργειαν στοι-

C^{a} C^{ld} C^{luc} Nr. L vgl. Or. IX 256; vgl. *II* 73, 14—74, 2. *N* 272 hat: *ἄρτον δὲ δίδωσιν ἡμῖν τὴν ἀναγκαίαν τῆς ψυχῆς ἐν γνώσει τροφήν. ἰχθῦν δὲ ὅταν οἷον ὄψονταί* (sic) *τι τὴν φιλομαθῆ περὶ τῆς τοῦ κόσμου συστάσεως γνῶσιν ἔχωμεν. οὐ δίδωσι δὲ ἀντὶ ἄρτου λίθον, τὴν πώρωσιν, οὐδὲ ἀντὶ ἰχθύος ὄφιν, ὃν Αἰθίοπες ἐσθίουσιν ὡς ἀνάξιοι τοῦ ἐσθίειν ἰχθῦν.*

4 Sap. Sal. 7, 17. 18

1 *ταῦτα — εὔχεσθαι* < C^{ld} C^{luc}

χείων, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων« καὶ ὅσα ἑξῆς ἡ Σοφία καταλέγει. οὔτε οὖν ἀντὶ τοῦ ἄρτου λίθον δίδωσιν ὁ θεὸς (ὃν ὁ διάβολος ἐσθίεσθαι ὑπὸ τοῦ Ἰησοῦ ἐβούλετο) οὔτε ἀντὶ ἰχθύος ὄφιν, ὃν ἐσθίουσιν οἱ ἀνάξιοι τοῦ ἰχθῦν ἐσθίειν Αἰθίοπες· »ἐκεῖ (γάρ φησιν ὁ Ψαλμὸς) συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν«.

6f Vgl. Matth. 4, 3 — 8 Ps. 73, 13. 14

9 *Αἰθίοψιν* + *οὔτε ἁπλῶς ἀντὶ τοῦ τροφίμου καὶ ὠφελοῦντος τὰ ἄβρωτα καὶ βλάπτοντα* C[luc]

141.

Matth. 7, 9—11

Πῶς δὲ τοὺς μαθητὰς πονηροὺς ἐκάλεσεν; εἰ γὰρ καὶ ἠκολούθησαν ἐκ προαιρέσεως, ἀλλ' εἶχον τὸ τρεπτὸν τοῦ ἀνθρωπίνου νοῦ. μόνος δὲ ἄτρεπτος ἦν καὶ θεότητι καὶ ἀνθρωπότητι ὁ τοῦ θεοῦ υἱός. [δόματα δὲ ἀγαθὰ καλεῖ τὰς πνευματικὰς δωρεάς, ὁ δὲ Λουκᾶς »πνεῦμα ἅγιον« εἶπεν ἀντὶ τοῦ εἰπεῖν ἀγαθά. καὶ οὐδὲν τὸ διάφορον· τὸ γὰρ ἅγιον πνεῦμα αὐτό ἐστι τὸ φσει ἀγαθόν, διὸ καὶ τοῖς μετόχοις δίδωσιν ἀγαθά. τοῖς δὲ ἄγαν πονηροῖς υἱὰ τὸ ἀνενδότως ἁμαρτάνειν τρόπον τινὰ φύσις αὐτοῖς ἡ κακία γίνεται, δοῖός ἐστινὁ σατανᾶς καὶ οἱ δαίμονες· δύναται γάρ τις καὶ τούτους φύσει κακοὺς εἰπεῖν, καίπερ μὴ φύσει κακοὺς δημιουργηθέντας ἀλλ' ἐξ αὐτοπροαιρέτου κακίας ἀπεσκληκότας.]

C[ld] in unmittelbarem Anschluß an Nr. 140; doch steht Z. 1—3 in C[lb] 1 unter *Ἀνεπιγράφου*, während Z. 3—10 ebenda unter *τοῦ αὐτοῦ* folgt, in C[la] 1 Ambros. D inf. 466 (976) unter *Κυρίλλου*, vgl. MPG 72, 385 C

4 Luc. 11, 13

142.

Matth. 7, 12

Τὸ εὖ ποιεῖν καὶ πάσχειν νόμος ἐστὶ φυσικός, καὶ τούτου ἀπηρτισμένου πεπλήρωται ὁ Μωσαϊκός· ἐν τούτῳ γὰρ ἦν.

C[la] 1. 3, ebenso Ambros. D inf. 466 (976)

143.

Matth. 7, 12

Ταῦτα δὲ ἀνακεφαλαίωσις τῶν μειζόνων καὶ ὑπὲρ τὸν νόμον δικαιωμάτων. μᾶλλον γὰρ ἐνταῦθα τὸ στενὸν καὶ τεθλιμμένον διὰ τὸ καὶ τῶν φυσικῶν ἀπέχεσθαι, ὧν τὴν χρῆσιν ὁ νόμος οὐκ ἀπεκώλυσεν.

C[la] 1. 3, ebenso Ambros. D inf. 466 (976)

2 Vgl. Matth. 7, 14

2 *ἐνταῦθα*] *ἐν τῷ θείῳ* C[la] 1

144.
Matth. 7, 13. 14

Στενὴ πύλη, περὶ ἧς ὁ προφήτης λέγει· »αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ«. καὶ λέγεται στενὴ τῷ τοὺς μεγαλοσάρκους τῇ ἁμαρτίᾳ καὶ παχεῖς τῷ φρονήματι μὴ δύνασθαι δι᾽ αὐτῆς εἰσιέναι, τοὺς δὲ νοεροὺς καὶ λεπτοτάτους χωροῦντας τὴν διὰ τούτων διήκουσαν τοῦ θεοῦ σοφίαν τὴν λέγουσαν· »πῶς ἐτάκη ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι«. πλατεῖα δὲ ἡ τῶν φιληδόνων καὶ σωματικῶς τρυφώντων, φευγόντων τὰς τῶν δικαίων θλίψεις καὶ τὸ παραυτίκα ἡδὺ αἱρουμένων. ἀπάγει δὲ ἡ μὲν εἰς βασιλείαν οὐρανῶν, ἡ δὲ εἰς ᾅδου.

C[a] C[1a] 1 C[1b] 5, ebenso Ambros. D inf. 466 (976)

1 Ps. 117, 20 — 2 Vgl. Ez. 16, 26, vgl. Orig. tom. VI, 19 in Joh. (Or. IV 128, 18) — 5 Ps. 62, 2. 3

6 *οὕτως — σοι* < C[a]   8 *ἀπάγει* — 9 *ᾅδου* < C[a]

145.
Matth. 7, 15—19

Ἄλλοι δὲ περὶ τῆς ἑτεροδιδασκαλίας καὶ παραμιγνύντων τῇ ἀληθείᾳ τὸ ψεῦδος ταῦτα εἰρῆσθαί φασιν. καὶ ὡς οὐκ ἔστιν ἀπὸ δένδρου καλοὺς παρέχοντος καρποὺς κακίστους λαβεῖν οὐδὲ ἀπὸ τῶν ἀνθρώπων ἀκάνθας φερόντων δέξασθαι σταφυλὴν ἢ συκῆν, οὕτως οὐκ ἔστιν ἀπὸ γνώμης πονηρᾶς λόγους ἀκοῦσαι καλοὺς οὔτε μὴν ἀπὸ γνώμης εὐσεβοῦς διδασκαλίαν δέξασθαι κακήν. ἀσφαλισάμενος δὲ τοὺς λοιποὺς εἰς τὸ μὴ πείθεσθαι προχείρως ἀποτρέπει λοιπὸν καὶ τοὺς ἐγχειροῦντας τῇ τῶν χειρόνων διδασκαλίᾳ· πᾶν (γάρ φησι) δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. ὥσπερ ἐπὶ τῶν ξύλων φησὶ τὸ ἄκαρπον εἰς πῦρ βάλλεται, οὕτως καὶ ἐπὶ τῶν ἀνθρώπων ὁ μὴ τοὺς τῆς εὐσεβείας διὰ στόματος φέρων καρποὺς ἀκόλουθον δέξεται τὴν τιμωρίαν.

C[a] unter *ΘΜ͂ ΑΠ͂ ꝺ*

Vgl. Hier. in Matth. 40 B: *specialiter de haereticis intellegendum* etc.

146.
Matth. 7, 17. 18

Ἐν ᾧ καλὸν τὸ δένδρον, καὶ ὁ καρπός· ἐν ᾧ σαπρὸν τὸ δένδρον, καὶ ὁ καρπός. καρποὶ δέ εἰσι λογικῶν δένδρων λογικαὶ πράξεις.

C[1a] 1. 3 C[1b] 1. 2. 3. 4. 5

1 *ἐν ᾧ*[1. 2]] *ἕως* C[1a] 1

147.
Matth. 7, 18

⟨Εἰ⟩ οὐ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν, Μωσῆς πῶς ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας ἠπίστησεν ἢ Δαυὶδ ἔσχε τὴν τοῦ Οὐρίου ἢ Πέτρος ἠρνήσατο ἢ οἱ πολλοὶ καὶ τῶν μὴ πάνυ προκοπτόντων ἔτι ἁμαρτάνουσιν;

C[a]

1—4 Vgl. Hier. in Matth. 40 D: *quaeramus ab haereticis . . . si . . . arbor bona malos fructus facere nunquam potest, quomodo Moses arbor bona peccaverit ad aquam contradictionis et David Uria interfecto cum Bethsabee concubuerit, Petrus quoque in passione domini negarit* etc. — 2 Vgl. Deut. 32 — Vgl. II. Regn. 11 — 3 Vgl. Matth. 26, 72 Parr.

1 ⟨εἰ⟩ Kl., vgl. Hier.

148.
Matth. 7, 21

Ὁ μὴ τῇ ἕξει ποιωθεὶς τῆς βασιλείας οὐκ εἰσελεύσεται ἐν αὐτῇ. ἕξιν δὲ κτήσασθαι λόγῳ οὐκ ἔστιν ἀλλ' ἢ πράξει.

C[1a] 1; dagegen C[1a] 3 unter *Σευήρου* und C[1b] 1 unter *'Ανεπιγράφου*

149.
Matth. 7, 21—23

Τοῦτο λέγεται πρὸς αὐτοὺς τοὺς ψευδοπροφήτας, εἰσὶ δὲ οἱ τὸ ὄνομα μὲν ἔχοντες, τοῖς δὲ ἔργοις ἀρνούμενοι. διὸ ἀρνεῖται αὐτούς, ἐπεὶ ἠρνήσατο αὐτὸν πᾶσα αἵρεσις, καὶ οὐχ ὁμολογεῖ αὐτούς, ἀλλὰ λέγει· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. »τοῖς« γὰρ »χείλεσί με« ἐτιμήσατε, »ἡ δὲ καρδία« ὑμῶν »πόρρω ἀπέχει ἀπ' ἐμοῦ, μάτην δὲ« ἐσέβεσθέ »με διδάσκοντες διδασκαλίας ἀνθρώπων« [Μαρκίωνος ἢ Οὐαλεντίνου ἢ Μάνεντος· δυνάμει γὰρ διὰ τῶν ἔργων »ἀρνοῦνται« τὸν Ἰησοῦν, εἴγε καὶ λέγουσι »κύριος Ἰησοῦς«. ἀρνεῖται δὲ καὶ τὸν ἄδικον ἢ τοῖς ἔργοις βέβηλον λέγων· »οὐκ οἶδα ὑμᾶς«· τοὺς γὰρ ἰδίους οἶδεν, »ἔγνω« γὰρ »κύριος τοὺς ὄντας αὐτοῦ, καὶ ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα κυρίου«. οὗτος γὰρ τῆς βασιλείας ἀπολαύει τῶν οὐρανῶν, ὅστις ἂν ἐπὶ τῶν ἔργων δείξῃ τὴν οἰκειότητα, ταῦτα διδάσκων τε καὶ ποιῶν ἃ καὶ παρὼν αὐτὸς παρέδωκα τοῖς ἀνθρώποις.]

C[a], nur Z. 1—6 *ἀνθρώπων* C[1a] 1. 3 C[1b] 1. 5

1 Vgl. Matth. 7, 15 — 1f Vgl. Tit. 1, 16 — 4ff Matth. 15, 8f — 7 Vgl. Tit. 1, 16 — 8 I. Kor. 12, 3 — 9 Matth. 25, 12 — II. Tim. 2, 19

150.

Matth. 7, 21. 22

Οὐδεὶς δύναται εἰπεῖν κύριε κύριε »εἰ μὴ ἐν πνεύματι ἁγίῳ«. ἀλλὰ τὸ τοιοῦτον ἐν ἔργοις ἐστίν, οὐ μὴν ἐν λόγοις, ὥς τινες ὑπολαμβάνουσι.

τινὲς προεφήτευσαν ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ὄντες ἀνάξιοι, Βαλαὰμ καὶ Σαοὺλ καὶ Καϊάφας, καὶ δαιμόνια ἐξέβαλον Ἰούδας καὶ οἱ υἱοὶ Σκευᾶ.

C[la] 1. 3 C[p]; dagegen C[lb] 1 unter *᾿Ανεπιγράφου*, vgl. Heinrici 78 App.

1—2 Vgl. Hier. in Matth. 41 C: „*nemo potest dicere dominus Iesus, nisi in spiritu sancto*“. *sed moris est scripturarum dicta pro factis accipere* etc. — 1 I. Kor. 12, 3 — 4 Vgl. Num. 23. 24 — 3—5 Vgl. Hier. in Matth. 41 E: *nam et Saul et Balaam et Caiphas prophetaverunt . . . et in Actibus apostolorum filii Sceuae videbantur eicere daemonas. et Iudas apostolus . . . multa signa inter ceteros apostolos fecisse narratur* — 4 Vgl. I. Regn. 10, 11 — Vgl. Ioh. 11, 51 — Vgl. Matth. 10, 17 — 5 Vgl. Act. 19, 14

1 *οὐδεὶς* — 2 *ὑπολαμβάνουσι* < C[l] — 4 *ἐξέβαλον* + *ὡς* C[la] 1

151.

Matth. 7, 24—27

Βροχὴ ὁ διάβολος, ποταμοὶ οἱ ἀντίχριστοι, ἄνεμοι »τὰ πνευματικὰ τῆς πονηρίας.«

C[c] 1. 2. 3 C[lc]; unter *ἄλλως τε Π* 79, 6f

1f Vgl. Hier. in Matth. 42 C: *pluvia ista quae domum subruere nititur diabolus est, flumina omnes Antichristi, qui contra Christum sapiunt, venti spiritalia nequitiae in caelestibus* — Vgl. Eph. 6, 12

1 *ποταμοὶ* + *οἱ ἐναντίοι λογισμοὶ (καὶ)* C[lb] 2(. 5) in einem anonymen Scholion

152.

Matth. 7, 24—27

Δεῖ τὸν ἀκούοντα συνιέναι τῶν λεγομένων· ἡ γὰρ σύνεσις φρόνησιν παρέχει καὶ ταύτῃ τὸ ἔργον ἀκολουθεῖ. καὶ οἰκοδομεῖ λίθους ἐκλεκτοὺς ἐπὶ τὸν τῶν προφητῶν καὶ ἀποστόλων θεμέλιον, περὶ οὗ λέγει τό· »ἐὰν μὴ

C[a] (bis Z. 12 *ἐκείνην*) C[la] 1. 3 C[lb] 1. 2. 5

2f Vgl. I. Kor. 3, 12 — 3 Ps. 126, 1

κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν«. »δόξα καὶ πλοῦτος« ἔσται »ἐν τῷ οἴκῳ« τούτῳ. αὐτὸς δὲ οἶκος ἐκ τῶν ἐντολῶν τοῦ θεοῦ οἰκοδομούμενος οἰκητήριον τοῦ θεοῦ γίνεται· »ἐνοικήσω« γὰρ »ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω«. οὗτος ἐπὶ τὴν πέτραν ᾠκοδόμηται, »ἡ δὲ πέτρα ἦν ὁ Χριστός«· »θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός«. τὸ δὲ ἀκούων καὶ ποιῶν· »πάντα« γὰρ ὅσα ἐὰν ποιῆτε διὰ λόγου εἴτε δι' ἔργων »ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ποιεῖτε«. ἐὰν γὰρ ᾖ ὁ θεμέλιος κείμενος ἐπὶ τὴν πέτραν, οὔτε ἄνεμος οὔτε βροχὴ οὔτε ποταμοὶ δύνανται βλάψαι τὴν οἰκίαν ἐκείνην. χειμῶνος γίνονται ποταμοί, ἄνεμοι καὶ βροχαί. διὸ εὔχεσθε μὴ »χειμῶνος« γενέσθαι τὴν φυγὴν ὑμῶν· τοῖς γὰρ δικαίοις ὁ αἰὼν οὗτος χειμών ἐστιν.

5 Vgl. Ps. 111, 3 — **6** II. Kor. 6, 16 — **7** I. Kor. 10, 5 — **8** I. Kor. 3, 10 — **9** Vgl. Kol. 3, 17 — **13f** Vgl. Matth. 24, 20

10 *ποιήσητε εἴτε διὰ λόγων* C[1b] 1. 5 **13** *εὔχεσθαι χρὴ* C[1a] 1

153.

Matth. 7, 24—27

»Οὔτε« γὰρ »θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε« τὰ λοιπὰ »δύναται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ«. ἀλλ' οὐδὲ ποταμοὶ ἀπὸ γῆς Αἰγύπτου καὶ Ἀσσυρίων, οἳ τὴν »σοφίαν τοῦ αἰῶνος τούτου« ἀσκήσαντες, ἀλλὰ τὰ ἀπὸ ἄμμου τέκνα τοῦ Ἀβραὰμ βλάπτουσι μόνον. οἱ δὲ πνέοντες ἄνεμοι οἱ ψευδοπροφῆται. οὗτοι πάντες ἐπὶ τὸ αὐτὸ γενόμενοι προσκρούουσι τῇ οἰκίᾳ. καὶ ἐὰν μὲν ᾖ ἐπὶ τὴν πέτραν, οὐ βλάπτουσιν αὐτήν· οὐ γὰρ εὑρίσκεται »ὁδὸς ὄφεως ἐπὶ τὴν πέτραν«. προσκρούουσι δὲ τῇ δοκούσῃ ἑδραίᾳ πρὸ τῶν πειρασμῶν καὶ διωγμῶν »γενομένης πλημμύρας«, καὶ πίπτει· οὐ γὰρ εἶχε θεμέλιον καὶ βάσιν τὸν Χριστόν. εἰ δὲ λέγει περὶ τοῦ ἀληθῶς φρονίμου ἀνδρὸς τοῦ οἰκοδομήσαντος αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν πέτραν, οὗτος ὁ κύριος ὁ οἰκοδομήσας αὐτοῦ »τὴν ἐκκλησίαν« ἐπὶ τὴν πέτραν τουτέστιν ἐπὶ τὴν ἑαυτοῦ στερρότητα καὶ εὐτονίαν. οὐδὲ γὰρ »πύλαι ᾅδου αὐτῆς κατισχύσουσιν«· πάντες γὰρ οἱ διωγμοὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐδὲν ἤνυσαν τῷ οἰκοδομεῖσθαι αὐτὴν ἐπὶ τὴν πέτραν.

C[a]: in einem Stück mit Nr. 152 Z. 1—14

1 Röm. 8, 38. 39 — **3** Vgl. I. Kor. 2, 6 — **7** Prov. 24, 54 — **8** Vgl. Luc. 6, 48. 49 — **11 ff** Vgl. Matth. 16, 18

3 *γῆς* Diehl *τῆς* C[a]

154.

Matth. 8, 5—9

Παῖδα νῦν οἰκέτην λέγει, καὶ σαφῶς τοῦτο δηλοῖ ὁ Λουκᾶς δοῦλον αὐτὸν ὀνομάζων. συνέσεως δὲ (φησίν) ἦν τὸ ἀπὸ τῶν καθ' ἑαυτὸν εἰκότι λογισμῷ τοιαῦτα αὐτὸν πιστεῦσαι περὶ τοῦ Χριστοῦ. ἄνθρωπος γὰρ (φησί) κἀγώ, ἀλλ' ὅμως ὢν ἔλαβον τὴν ἐξουσίαν, τούτων κύριός εἰμι. ὥστε οὐδὲ ἀπεικὸς καὶ σὲ ταύτην εἰληφότα παρὰ θεοῦ τὴν ἐξουσίαν λόγῳ μόνῳ κελεύοντα ἀπελαύνειν τὰ πάθη. οὐδὲ γὰρ ὡς υἱῷ θεοῦ καὶ πάσης ὄντι κυρίῳ τῆς κτίσεως προσῆλθεν ὁ ἑκατόνταρχος (τοῦτο γὰρ οὐδὲ τῶν μαθητῶν τότε ἦν εἰδέναι, πρὸ τοῦ σταυροῦ), ἀλλ' ὡς ἀνθρώπῳ δι' ἀρετὴν εἰληφότι παρὰ τοῦ θεοῦ μείζονα ἢ κατὰ ἄνθρωπον ἐξουσίαν. ὅθεν οὕτω φησί· καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι. ἐπειδὴ γὰρ εἶπε πρὸς αὐτὸν εἰπὲ λόγῳ, τοῦτο δὲ θεοῦ μόνου εἶναι ἐδόκει, καλῶς ἐπήγαγε τὸ καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι, ἀντὶ τοῦ· οὐδὲν θαυμαστόν, εἰ τοῦτο δύνῃ ἄνθρωπος ὤν, λαβὼν παρὰ τοῦ θεοῦ, ἐπεὶ κἀγὼ τοῦτο ὢν λαμβάνω ὑπηκόους ὑπερέχων τῷ κελεύειν ὡς βούλομαι.

[Ταῦτα ὁ συνήθως τοῖς ἁγίοις πατράσιν ἐναντιούμενος, τοῖς δὲ ἐντυγχάνουσι συνιδεῖν καταλιμπάνω τῶν ἐξηγήσεων τὸ διάφορον, καὶ τίς ὁ μᾶλλον ἐφικνούμενος τῆς εὐαγγελικῆς καὶ ἀληθοῦς διανοίας.]

C^v

1f Vgl. Luc. 7, 2 — 15—18 Entschuldigende Anmerkung des Katenenschreibers

3 *λογισμῶν* C^v, corr. Kl   14 *ὑπερέχων τῷ* Kl *ἅπερ ἔχων τοῦ* C^v

155.

Matth. 8, 8. 10

Καὶ ζωῆς καὶ θανάτου εἶχεν ὁ ἑκατόνταρχος τὸν Ἰησοῦν ἐξουσιαστήν· διὸ καὶ ἐθαυμάσθη. οὐδένα ἐν τῇ Ἱερουσαλὴμ εὑρίσκομεν καταθαρρήσαντα τοῦ θανάτου.

C^c 1. 2. 3

Κύριον ζωῆς καὶ θανάτου εἶχεν ὁ ἑκατόνταρχος τὸν Ἰησοῦν· διὸ καὶ ἐθαυμάσθη. οὐδένα γὰρ ἐν τῷ Ἰσραὴλ εὑρίσκομεν καταθαρρήσαντα τοῦ θανάτου.

C^{1a} 1. 3; dagegen C^{1b} 5 unter *Γρηγορίου Νύσσης*

1ff Sachparallele bei Chrysostomus hom. 26 p. 318 D

5 *θανάτου*] in C^{1a} 1 folgt nach Mercati unter *τοῦ αὐτοῦ* noch: *Τί οὖν ὁ — ἀξίως πεπιστευκέναι* d. h. *II* 83, 16—84, 2

156.

Matth. 8, 10

Τάχα ἐπεὶ οὐ μόνον πιστῶς ἀλλὰ καὶ ἀληθῶς εἶπεν ὁ ἑκατοντάρχης, ἐθαύμασεν ὁ Ἰησοῦς. εἰκὸς γὰρ ὅτι ἦσάν τινες ἐνέργειαι τὴν παράλυσιν καὶ τὰς βασάνους ἐμποιοῦσαι τῷ παιδί, ἃς ἐχρῆν κελεύσαντος Ἰησοῦ ἀπελαθῆναι ἀπὸ τοῦ παιδὸς ἢ προστάξαντος τοῖς διακονοῦσιν αὐτῷ ἀγγέλοις ἀπελάσαι καὶ ἐκβαλεῖν τὰ τὴν παράλυσιν καὶ τὰς βασάνους ἐνεργοῦντα.

Cᵃ, vgl. *II* 83, 16—84, 1

2 ff Vgl. Hier. in Matth. 44 E: *pellendae enim erant vel infirmitates corporum vel fortitudines contrariae, quibus homo ad debilitatem saepe conceditur, et verbo domini et ministeriis angelorum.*

157.

Matth. 8, 11. 12

Εἰ »στενὴ καὶ τεθλιμμένη« ἐστὶν »ἡ ὁδός, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν«, διὰ ποίας οἱ πολλοὶ εἰσελεύσονται (περὶ γὰρ τῆς πλατείας καὶ εὐρυχώρου λέγει ὅτι »πολλοὶ δι' αὐτῆς« εἰσέρχονται); καί φαμεν ὅτι ὁ μὲν τοῦ σωτῆρος λόγος εἴρηται, ἐπειδὴ ὀλίγοι ἀπὸ τοῦ Ἰσραὴλ διεσῴζοντο· οὐ πολλοὶ γὰρ ἐπίστευσαν εἰς αὐτὸν ἀλλ' ὀλίγοι, διὸ καὶ ἔλεγε· »μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν« ὁ θεὸς ἐν σοί. προφητικῶς δὲ ἐλέχθη τὸ πολλοὶ ἥξουσιν, ὡς περὶ τῶν μελλόντων πιστεύειν εἰς αὐτὸν ἀπὸ τῶν ἐθνῶν. [ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, αὐτοὺς δὲ τοὺς Ἰσραηλίτας ἐκβαλλομένους εἰς τὸ σκότος τὸ ἐξώτερον.]

(Cᵃ) *ὥσπερ τότε πρὸς σύγκρισιν τῶν ἀπολλυμένων ὀλίγοι ἦσαν οἱ σῳζόμενοι, οὕτως νόει μοι τοὺς σῳζομένους πολλοὺς εἶναι πρὸς σύγκρισιν τῶν ἀπολλυμένων ὀλίγων νῦν.*

(Cˡ) *πολλοί (φησίν), ὡς πρὸς τοὺς Ἰσραηλίτας τοὺς μετὰ τὴν παρουσίαν μὴ πιστεύσαντας, οἱ ἀπὸ τῶν ἐθνῶν ἀνακλιθησόμενοι μετὰ Ἀβραὰμ καὶ τῶν ἐξ αὐτοῦ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ τῷ ἀριθμῷ δὲ πολλαπλασίους οὗτοι τῶν ἀπὸ Ἰσραὴλ καὶ τὸν Ἰησοῦν Χριστὸν ὁμολογούντων.*

Cᵃ Cᶜ 1. 2. 3 (Cˡᶜ) 3 Cˡᵇ 2. 4 Cˡᵈ; dagegen Cˡᵇ 1. 5 unter *τοῦ αὐτοῦ* (= *Γρηγορίου Νύσσης*) bis Z. 8 *ἐθνῶν*, und (= Cˡᵃ 1) Z. 10 *πολλοὶ* ff unter *Ἀνεπιγράφου* (vgl. *II* 84, 3—6)

1 Matth. 7, 14 — 2 f Vgl. Matth. 7, 13 — 5 Luc. 12, 32

1 In Cᵃ geht vorher: *πῶς πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσιν* 8 *ἀπὸ* — 9 *ἐξώτερον* < Cˡ 18 *ὁμολογούντων*] nach Mercati setzt Cˡᵃ 1 noch fort mit *δεικνὺς δὲ ὅτι* — *τοῖς πατριάρχαις* = *II* 84, 7—12

158.

Matth. 8, 11

Καὶ μετ' ὀλίγα·

Τὸ δὲ ἀνακλιθήσονται ἐν κόλπῳ Ἀβραὰμ καὶ τὰ ἑξῆς τάχα περὶ τοῦ »ὡμοιώθη ἡ βασιλεία ἀνθρώπῳ ποιήσαντι γάμους τῷ υἱῷ αὐτοῦ καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ« καὶ τὰ ἑξῆς. οἱ υἱοὶ τῆς βασιλείας ἐκβαλλόμενοι κατὰ τοὺς Ἰσραηλίτας, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν τὰ ἔθνη.

Τὸ ἀνακλιθήσονται ἐν κόλποις Ἀβραὰμ καὶ τὰ ἑξῆς τάχα περὶ τοῦ »ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ποιήσαντι γάμους τῷ υἱῷ αὐτοῦ καὶ ἀπέστειλεν τοὺς δούλους« καὶ τὰ ἑξῆς.

C^{c} 1. 2. 3: unmittelbar hinter Nr. 157

C^{1a} 1. 3

4 Matth. 22, 2f

1 *καὶ μετ' ὀλίγα* < C^{1c}

159.

Matth. 8, 18—22

Κελεύει δὲ μόνοις τοῖς μαθηταῖς ὁ Ἰησοῦς ἀπελθεῖν εἰς τὸ πέραν ἵνα μὴ δοκῇ ἐμποδίζεσθαι ὑπὸ τῶν θλιβόντων αὐτὸν ὄχλων ἀκούειν τοὺς μαθητὰς τῶν ἁρμοζόντων αὐτοῖς μαθημάτων καὶ γνησιωτέρως μελλόντων αὐτοῖς ἀποκαλύπτεσθαι τῶν τοῦ θεοῦ μυστηρίων. τῶν »ἐν παραβολαῖς τοῖς ὄχλοις« λαλουμένων· ἐπεὶ πάντα τὰ ἐν χερσὶ καταλείψαντες μόνοι αὐτῷ ἠκολούθησαν ἕνεκεν φιλομαθίας. κελεύει δὲ διαπερᾶν ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια, ἀπὸ τῶν ἐπιγείων ἐπὶ τὰ ἐπουράνια, ἀπὸ τῶν σαρκικῶν ἐπὶ τὰ πνευματικά.

C^{1a} 1. 3, auch Ambros. D inf. 466 (976); dagegen C^{1b} 1. 5 in einem Kyrill-Scholion

4 Vgl. Matth. 13, 11 — 5f Vgl. Matth. 13, 34 — 7ff Vgl. II. Kor. 4, 18; 5, 1

160.

Matth. 8, 20

»Ἐν ἁγίοις« ὁ Χριστὸς ἅγιος ὢν ἀναπαύεται. διὸ καί φησι πρὸς αὐτόν· ἐν σοὶ δαίμονες ἀναπαύονται, τουτέστιν αἱ ἀλώπεκες. ἐγὼ δὲ οὐκ ἐν σοὶ ἀλλ' »ἐν ἁγίοις« ἀναπαυθήσομαι.

C^{p}, vgl. dazu *II* 87, 1—4

1. 3 Vgl. Jes. 57, 15 — 1f Vgl. das Origenes-Fragment zum Lukas Nr. XXVIII Or. IX 246

161.

Matth. 8, 21. 22

Τὸ δὲ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς τὸ μηκέτι σχολάζειν περὶ τὰ νενεκρωμένα πράγματα· »νεκρώσατε« γὰρ ὑμῶν »τὰ μέλη τὰ ἐπὶ τῆς γῆς« ἅτινά ἐστιν πορνεία καὶ τὰ ἑξῆς. ταῦτα οὖν νεκρά ἐστιν. ἀπόβαλε ἀπὸ σοῦ. ἀπόκοψον ὡς νενεκρωμένην σάρκα μιαίνουσαν ὅλον τὸ σῶμα, ἵνα μὴ ῥηθῇ· ἄφες τοὺς νεκροὺς τοὺς ἔχοντας ἐν ἑαυτοῖς τὴν νεκροῦσαν ἁμαρτίαν θάψαι τοὺς ἑαυτῶν νεκρούς. ἄτοπον δὲ φαίνεταί τισιν καὶ ἐναντίον τὸ μὴ ἐπιτρέπειν τὸν σωτῆρα θάπτειν τὸν μαθητὴν τὸν πατέρα· ἀπανθρωπίας γὰρ τὸ ἔργον. οὐ μέντοι ἐκώλυσεν ὁ Ἰησοῦς μὴ θάπτειν τὸν νεκρόν, ἀλλὰ τὸν ζῆν ποιοῦντα τοὺς ἀνθρώπους προκρίνει τῷ κηρύσσειν »τὴν βασιλείαν« τῶν οὐρανῶν. περὶ γὰρ τὸ θάπτειν τὸ σῶμα ἦσαν πολλοί.

C^{1a} 1. 3 C^{1b} 1

2ff Vgl. Kol. 3, 5 — **8ff** Sachparallele bei Chrysostomus hom. 27 p. 331 A B
10 Vgl. Luc. 9, 60

162.

Matth. 8, 22

Οἱ νεκροὶ εἰώθασι θάπτειν τοὺς ἑαυτῶν νεκρούς, ψυχὴ ἐν κακίᾳ οὖσα νεκρά ἐστιν. ὁ αἰσθητὸς δὲ θάνατος διὰ τὴν ἁμαρτίαν· καλῶς οὖν ἡ ἁμαρτία θάνατος λέγεται, καὶ ὁ ἐν αὐτῇ ὢν νεκρός ἐστιν.

C^c 1. 2. 3 C^{1c}

Εἰ νεκροὶ εἰώθασι θάπτειν τοὺς ἑαυτῶν νεκρούς, ψυχὴ ἐν κακίᾳ οὖσα νεκρά ἐστι. καὶ εἰ ὁ αἰσθητὸς θάνατος διὰ τὴν ἁμαρτίαν, καλῶς ἡ ἁμαρτία θάνατος λέγεται, καὶ ὁ ἐν αὐτῇ ὢν νεκρός ἐστιν. εἰδὼς δὲ ὁ Χριστὸς τὴν ἐπιτηδειότητα τῆς τούτου ψυχῆς ἐπὶ τὰ καλὰ καὶ ἄκοντα ἀκολουθεῖν ἐκέλευσεν.

C^{1a} 1 (bis Z. 6). 3

163.

Matth. 8, 26

Αὐτὸς γὰρ ἦν ὁ καὶ τὴν ἀρχὴν ἐπιθεὶς αὐτῇ »κλεῖθρα καὶ πύλας« καὶ εἰπών· »μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ᾽ ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα«.

C^{1a} 1. 3

1ff Job 38, 10. 11

164.

Matth. 8, 28—30

Ἐπειδὴ ὁ Ματθαῖος μὲν δύο δαιμονιζομένους εἶπε τοὺς ἀπὸ τῶν μνημείων ἐξελθόντας, ὁ δὲ Λουκᾶς καὶ ὁ Μᾶρκος ἕνα, σκέψαι μήποτε τῶν δύο τῶν παρὰ τῷ Ματθαίῳ εἷς ἦν ὁ τὸν λεγεῶνα ἔχων, περὶ οὗ τὸν λόγον ἐποιήσαντο ὅ τε Μᾶρκος καὶ ὁ Λουκᾶς, ἱστοροῦντες τὰ κατ' αὐτὸν μόνον διὰ τὸ ἐπισημότερον εἶναι καὶ πλείονα περὶ αὐτὸν γεγονέναι. ὅθεν τὰ μὲν ὁμοίως ὁ Ματθαῖος γενικῶς περὶ τῶν δύο δαιμονιζομένων ἀνέγραψε καὶ οὗτοι περὶ τοῦ ἑνὸς ἐμνημόνευσαν, τὰ δὲ ἰδίως καὶ ἀφωρισμένως περὶ τοῦ τὸν λεγεῶνα ἐσχηκότος διὰ τὸ παρασεσιωπῆσθαι παρὰ τῷ Ματθαίῳ τὴν κατὰ μέρος περὶ αὐτοῦ διήγησιν. υἱὲ δὲ λέγουσι θεοῦ οἱ δαίμονες πῆ μὲν νικώμενοι ὑπὸ τῆς δυνάμεως αὐτοῦ, πῆ δὲ περιηχούμενοι ἀπὸ τῆς παρ' αὐτοῦ ὡς υἱοῦ θεοῦ διδασκαλίας. μήποτε δὲ τὰ δαιμόνια οὐδέπω ἄξια ἐκρίθη τοῦ παθεῖν τι ἀπ' ὀργῆς θεοῦ τῆς παιδευούσης τοὺς μὴ θέλοντας λόγῳ εἶξαι. ἀλλ' ἡ μακροθυμία τοῦ σωτῆρος συγχωρεῖ τὸν μεταξὺ συντελείας χρόνον διὰ τοὺς ἐπαθλοῦντας καὶ δυναμένους κατὰ τῆς λεγεῶνος τῶν δαιμόνων στεφανωθῆναι. ὡς οὖν καιρὸν ἔχοντες ἐν τῷ μεταξὺ ποιεῖν ἃ βούλονται περὶ τοὺς ἀνθρώπους κατεβόων τοῦ κυρίου ὡς ἂν πρὸ τοῦ προσήκοντος καιροῦ μάτην αὐτοὺς βιαζομένου καὶ τιμωρίαις ὑπάγοντος.

C^a Z. 9 *υἱὲ* — 18 *ὑπάγοντος*, C^v Z. 1 *ἐπειδὴ* — 15 *στεφανωθῆναι*; vgl. zu Z. 1—9 (*διήγησιν*) *Π* 89, 12—90, 1, Z. 9—11 *Π* 90, 7—9, Z. 13—15 *Π* 90, 17—19

2ff Vgl. Luc. 8, 27; Marc. 5, 2 — 8 Vgl. Marc. 5, 15

9 *οἱ δαίμονες* < C^v 17 *προσήκον* C^a, corr. Kl

165.

Matth. 8, 28—34

[*οὕτω καὶ Ὠριγένης ἐξηγήσατο.*]

C^v, vgl. *B* bei Cramer I 314, 28—315, 7 am Schluß eines Scholions des Chrysostomus aus hom. 28 p. 335 E 336 A (*Ἰστέον δὲ ὡς — ἑαυτόν φησι*)

166.

Matth. 8, 28. 29

Ζήτει εἰ κατὰ γνῶσιν λέγουσιν ἢ οὔ, ἢ κατ᾽ ἐκείνους τοὺς λέγοντας »τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν«. ὅλην δὲ τὴν ἐξήγησιν κατὰ λέξιν ἐρεύνα νοερῶς. οἱ δαίμονες τῶν ἐπουρανίων ἀποστάται γενόμενοι τὸν περίγειον τόπον κατέσχον, οὐκ ἀποκληρωτικῶς, ἀλλὰ λόγῳ τινὶ ἀπορρήτῳ. ὅθεν καὶ φοβεροὶ ἦσαν ἔχοντες οἰκητήριον ἐνθάδε. ὅθεν καὶ τοῦτο ἤμειψαν κατὰ κρίσιν τοῦ θεοῦ. διὰ τοῦτο οὖν ἐβόων· ἦλθες ὧδε, διὸ οὐδεὶς ἠδύνατο ὁδεύειν. τὸ δὲ πέραν ζήτει ἤτοι τοῦτον τὸν κόσμον ἐκ τοῦ κρείττονος ἢ τὰ ἔθνη ἐκ τοῦ Ἰσραήλ.

C[la] 1. 3

2 Matth. 27, 25

5 *τοῦτον* Hss, corr. Kl

167.

Matth. 8, 31. 32

Διὰ τί δὲ εἰς τοὺς χοίρους ἀξιοῦσιν εἰσελθεῖν; ὅταν κατὰ ἀνθρώπων οὐ δύνωνται, κατὰ ἀλόγων βούλονται τῶν δι᾽ ἄνθρωπον ὄντων. ἢ γὰρ αὐτὸν τὸν ἄνθρωπον ἢ τὰ αὐτοῦ κακοῦσιν οἱ μισάνθρωποι.

C[la] 1. 3 C[lb] 1. 5; dagegen C[la] 2 unter *Ἀπολλιναρίου*

168.

Matth. 8, 32. 33

Εἰ μὴ οἱ χοῖροι κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν ὥρμησαν καὶ ἀπεπνίγησαν ἐν τοῖς ὕδασιν, οὐκ ἂν οἱ βόσκοντες τοὺς χοίρους ἔφυγον τοῦ βόσκειν χοίρους καὶ κήρυκες τῶν θαυμάτων τῆς ἀληθείας ἐγένοντο.

C[c] 1. 2. 3 C[la] 1. 2. 3 C[lb] 1. 2. 4. 5 C[lc] Coisl. 206

Εἰ μὴ κατὰ κρημνοῦ εἰς τὴν θάλασσαν ὥρμησαν οἱ χοῖροι καὶ παντελῶς ἀπεπνίγησαν, οὐκ ἂν οἱ συβῶται ἔφυγον καταλιπόντες αὐτοὺς καὶ κήρυκες γεγονότες τῶν τοῦ Χριστοῦ θαυμάτων.

C[p]

1ff Vgl. Hier. in Matth. 48 B: *ut per interfectionem porcorum hominibus salutis occasio praeberetur; pastores enim ista cernentes statim nuntiant civitati*

169.

Matth. 8, 32

Ὁ τοίνυν μὴ θέλων, ἵνα ἐπιτρέψῃ Ἰησοῦς εἰσελθεῖν εἰς αὐτὸν τὸν λεγεῶνα, μεταβαλέτω ἀπὸ τοῦ εἶναι χοῖρος ⟨εἰς τὸ εἶναι ἄνθρωπος⟩, τουτέστιν ἀπὸ φιληδόνου εἰς φιλόθεον, ἵνα ἀποθανὼν τῷ εἶναι χοῖρος ζήσῃ τῷ ἄνθρωπος γενέσθαι.

C^marc v^, vgl. *B* (Matthaei I 87, 19—23). Sachparallele auch bei Chrysostomus hom. 28 p. 338 C

2 *⟨εἰς τὸ εἶναι ἄνθρωπος⟩* Kl

170.

Matth. 8, 34

Ὡς ἀναίσθητοι τοῦτο εἶπον καὶ ἄγαν ἄπιστοι οἱ Γεργεσηνοί.

C^c^ 1. 2. 3 C^1a^ 1. 2. 3 C^1b^ 1. 5 C^1c^; als *ἀναίσθητοι* bezeichnet die Gergesener auch Chrysostomus hom. 28 p. 338 A

171.

Matth. 8, 34

Καὶ ἰδόντες οἱ Γεργεσηνοὶ παρεκάλεσαν αὐτὸν μεταβῆναι ἀπὸ τῶν ὁρίων αὐτῶν, οὐκ ἀπωθούμενοι, ἀλλὰ ταπεινοφρονοῦντες, ὡς οὐκ ἄξιοι ὄντες ἐπὶ τῆς οἰκείας χώρας ἔχειν τοσοῦτον ἀγαθόν, δείσαντες μήπου τι καὶ μεῖζον πάθωσιν ἀπὸ τῆς αὐτοῦ δυνάμεως τῶν οἰκείων ἁμαρτιῶν ἕνεκα.

C^b^ (von Z. 4 ab) C^1b^ 1. 5; Cramer I 65, 6—8 unter *Θεοδώρου Μομψουεστίας· Παρεκάλεσαν τοίνυν ἐφ᾽ ἑτέρους μεταβῆναι τόπους, ὡς οὐκ ἄξιοι ὄντες τοσοῦτον ἀγαθὸν ἐπὶ τῆς οἰκείας ἔχειν χώρας, δείσαντες μήπου *** ἁμαρτημάτων ἕνεκεν* (vgl. auch ebenda 65, 3—5 *Θεοδώρου Ἡρακλείας*); s. auch *B* (Cramer I 317, 14—17)

Οὐκ ἀπωθούμενοι ἀλλὰ ταπεινοφρονοῦντες.

C^c^ 1. 2. 3 C^1c^

1ff Vgl. Hier. in Matth. 48 C: *qui rogant ut transeat fines eorum, non de superbia hoc faciunt (ut nonnulli arbitrantur), sed de humilitate qua se praesentia domini indignos iudicabant* (auch Chrysostomus hom. 28 p. 339 C?)

172.
Matth. 9, 1—3

Τρεῖς εἶναί φησι τοὺς παραλυτικούς, ἀλλ' ἐν διαφόροις καιροῖς προσενηνέχθαι αὐτῷ, καὶ ὁμοιότητά τινα ἔχειν τοῖς ἐφ' ἑνὸς τὰ ἐπὶ τῶν ἄλλων δύο.

C[p]; *Π* 92, 10—12

1 *φισὶ* (sic) C[p]

173.
Matth. 9, 9

Μᾶρκος μὲν καὶ Λουκᾶς τὸ ὄνομα αὐτοῦ κρύπτουσι τῇ προτέρᾳ προσηγορίᾳ, ὁ δὲ Ματθαῖος τὸ ἑαυτοῦ φανερὸν ποιεῖται ὄνομα λέγων· »ἐθεάσατο« Ματθαῖον, »τὸν τελώνην«. ταῦτα δὲ λέγει, ἵνα ἡμεῖς θαυμάσαντες τὴν τέχνην τοῦ ἰατρεύσαντος αὐτὸν θεοῦ πιστεύωμεν εἰς αὐτὸν ἀκριβέστατα.

C[luc] (vgl. Or. IX 235 Nr. VII) C[p]; vgl. *B* (Cramer I 288, 5ff. Matthaei I 33, 1ff). Vgl. auch Chrysostomus hom. 30 p. 347 D (*ἀλλὰ καὶ τὸ ὄνομα τίθησι, τῶν ἄλλων κρυψάντων αὐτὸ προσηγορίᾳ ἑτέρᾳ*), vgl. *Π* 94, 7—9.

1 Vgl. Hier. in Matth. 49 E: *ceteri evangelistae propter verecundiam et honorem Matthei noluerunt eum nomine appellare vulgato, sed dixerunt „Levi“ (duplici quippe vocabulo fuit). ipse autem Mattheus . . . Mattheum se et publicanum nominat, ut ostendat* etc. — Vgl. Marc. 2, 14; Luc. 5, 27 — 2 Vgl. Luc. 5, 27

1 *Μᾶρκος*] vorher: *»ἐξῆλθεν« οὖν φησιν »καὶ ἐθεάσατο τελώνην καλούμενον Λευῒν«* (Luc. 5, 27)· *ἔστι δὲ οὗτος Ματθαῖος ὁ εὐαγγελιστής* C[luc]

174.
Matth. 9, 13

Τὸ δὲ ῥηθὲν ἐν τῷ Ὡσηὲ οὕτως γέγραπται· »καὶ τὸ κρίμα μου ὡς φῶς ἐξελεύσεται, διότι ἔλεος θέλω καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν θεοῦ ἢ ὁλοκαυτώματα«.

C[a]; vgl. *Π* 95, 2 ?

1 Hos. 6, 5. 6

175.

Matth. 9, 13

Ἡ θυσία κατὰ νόμον, τὸ ἔλεος ὑπὲρ νόμον.

C[la] 1. 3 C[lc]

176.

Matth. 9, 14

Οἱ Ἰωάννου μαθηταὶ ἔτι τῇ ζύμῃ τῶν Φαρισαίων ἠκολούθουν.

C[la] 1. 3

1 Vgl. Matth. 16, 6

177.

Matth. 9, 15

Τὴν μεθ' ἑαυτοῦ διατριβὴν λέγει πάσης ὀδύνης ἀπαλλακτικὴν εἶναι· ὀδυνᾶται μὲν γὰρ ὁ μὴ παρὸν ἔχων τὸ ἀγαθόν, διὰ δὲ τὴν στέρησιν αὐτοῦ πενθεῖ ποθῶν τὴν ἀπόλαυσιν. ὁ δὲ παρόντος ἀπολαύων εἰκότως εὐφραίνεται καὶ οὐκ ὀδυνᾶται.

νυμφίος δὲ τῆς ἀνθρωπίνης φύσεως ὁ ταύτης ἡγεμὼν λόγος, ὁ τὸ σπέρμα διδοὺς τῆς ζωῆς. ὅταν οὖν ἀρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, ποθοῦντες τὴν παρουσίαν αὐτοῦ νηστεύσουσιν, ἵνα συνῶσιν αὐτῷ κατὰ πνεῦμα, καθαιρόμενοι ἀπὸ σωματικῶν ἡδονῶν.

C[a], von Z. 5 an auch C[la] 1. 2. 3 C[lc]; vgl. *B* (Cramer I 290, 26ff Matthaei I 35, 14ff und unter *ἄλλως τε* 36, 7ff)

8 *ἡδονῶν*] es folgt in C[a], aber ohne Namen und wohl nicht mehr zugehörig: *Οὐ μόνον δὲ τοῖς μαθηταῖς, ἀλλὰ τῷ Χριστῷ ἐνεκάλουν μὴ νηστεύοντι* (vgl. *Π* 95, 7f). *οἱ μὲν οὖν ἅγιοι διὰ τοῦτο νηστεύουσι, ἵνα κατατήκοντες τὸ σῶμα κατευνάσωσι καὶ νεκρῶσι τὰ ἐν αὐτῷ πάθη. ὁ δὲ Χριστὸς ὡς θεὸς ὢν παντὸς ὢν ἐλεύθερος πάθους οὐ χρείαν εἶχε νηστεύειν πρὸς κατόρθωσιν ἀρετῆς* (vgl. *Π* 96, 6f). *πλὴν οὔτε* (l. *οὐδὲ*) *οἱ συνόντες αὐτῷ, μεταλαμβάνοντες δι' αὐτοῦ χάριτος καὶ ἰσχυροποιούμενοι καὶ τὴν ἀρετὴν ἐργαζόμενοι καὶ δίχα νηστείας. εἰ δὲ καὶ ἐνήστευσε τὰς μ̄ ἡμέρας, οὐχ ἵνα νεκρώσῃ ἐν αὐτῷ τὰ πάθη, ἀλλ' ἵνα τοῖς ἀνθρώποις τὸν τῆς ἐγκρατείας ἐν ἑαυτῷ ἀναγράψῃ νόμον.*

178.

Matth. 9, 16. 17

Ἀσκοὶ παλαιοί εἰσιν οἱ τῇ νομικῇ πολιτείᾳ πεποιωμένοι, οἶνος δὲ νέος ἡ διὰ Χριστοῦ χάρις.

Ἀσκοὶ παλαιοὶ οἱ τῇ νομικῇ πολιτείᾳ πεποιωμένοι, οἶνος νέος ἡ διὰ Χριστοῦ χάρις, ἀσκοὶ νέοι οἱ ἐν ταύτῃ ποιωθέντες. κατὰ τοῦτο τὸ παλαιὸν ἱμάτιον καὶ τὸ ἄγναφον ῥάκος· διατὶ δὲ ἢ πῶς ῥάκος, ζήτει, ὅπερ αἶρον τὸ πλήρωμα ἐκ »τοῦ παλαιοῦ« χεῖρον σχίσμα γίνεται.

C^{c} 1. 2. 3 C^{lc} — C^{lb} 1. 2. 4. 5

8 Vgl. Marc. 2, 21

179.

Matth. 9, 18. 19

Πολλῶν ὄντων τῶν ἀρχισυναγώγων οἱ μὲν λοιποὶ κατὰ τοῦ σωτῆρος ἦσαν. σπάνιος δέ τις ἦν καὶ εἷς οὗτος, ὡς Νικόδημος. καὶ εἴ τις τοιοῦτος, καὶ τοῦτον ἡ χρεία κατηνάγκασεν ἐλθεῖν πρὸς τὸν Ἰησοῦν, διὸ ἔλεγεν· »ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε«. »Ἰάειρος« δὲ οὗτος ἦν, ὃς οὐκ εἶχε πίστιν ὁμοίαν τοῦ ἑκατοντάρχου. ἢ γὰρ ἂν εἶπε καὶ αὐτός· »οὐκ εἰμι ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς«. ἀλλ' ὅμως ὁ κύριος ἠπίως ἠκολούθει.

C^{lb} 4 C^{v}

2 Vgl. Joh. 3, 1 — 4 Joh. 4, 48 — Vgl. Marc. 5, 22 — 6 Matth. 8, 8

1 πολλῶν + τοίνυν C^{lb} 4 — 7 ἠκολούθησεν αὐτῷ + Nr. 180 C^{lb} 4

180.

Matth. 9, 18

Οὐκ ἐποίησε δὲ ἀπὼν λόγῳ τὸ θαῦμα, ἵνα πᾶσι γένηται κατάδηλον τὸ πρᾶγμα. ὡς τελείους δὲ τοὺς περὶ Πέτρον ἔλαβε μόνους μεθ' ἑαυτοῦ, ἵνα παροξύνῃ καὶ τοὺς ἄλλους γενέσθαι τοιούτους.

C^{lb} 4, auch C^{lb} 5, falls sich sein ϐ nicht eher auf Nr. 181 bezieht; dagegen C^{la} 1. 2 unter τοῦ αὐτοῦ hinter Ἀνεπιγράφου. Vgl. Π 98, 2—4. Sachparallele bei Chrysostomus hom. 31 p. 357 B

1 Vgl. Matth. 8, 8 — 2 Vgl. Marc. 5, 37 Luc. 8, 51

181.
Matth. 9, 20. 21

Μάστιξ ἦν ἡ αἱμόρροια τὸ πάθος. οὕτως ἐρεῖς καὶ τὰ τοιαῦτα πάθη σωματικὰς μάστιγας εἶναι τοῦ θεοῦ. διὸ ἔλεγε τῷ παραλυτικῷ καὶ αὐτὸν μάστιγος ἀπολύσας· »ἴδε ὑγιὴς γέγονας μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται«. καὶ οἱ μὲν μαθηταὶ αὐτοῦ ἥψαντο καὶ ἐψηλάφησαν αὐτόν, ἡ δὲ αἱμορροοῦσα »τῶν ἱματίων αὐτοῦ«. ὁμοίως δὲ τῇ αἱμορροούσῃ πιστεύοντες ἥπτοντο αὐτοῦ. διὸ συνθλίβειν αὐτὸν λέγονται κατὰ δὲ τὸν Λουκᾶν συνέχειν καὶ ἀποθλίβειν αὐτόν. οὐχὶ δὲ τὰ ἱμάτια αὐτοῦ ἔσῳζον τὴν γυναῖκα (ἐπειδὴ καὶ οἱ ἐχθροὶ »διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ«), ἀλλ' ὁ αὐτῆς λογισμὸς εἰπούσης ὅτι κἂν τοῦ ἱματίου αὐτοῦ ἅψωμαι, σωθήσομαι.

C[1b] 3. 4. (5, vgl. zu Nr. 180). Zu Z. 7—10 *B* (Cramer I 319, 21ff. Matthaei I 94, 3ff.), auch *Π* 98, 16

1 Vgl. Marc. 5, 29. 34 — **3** Joh. 5, 14 — **5** Vgl. Marc. 5, 28 — **6** Vgl. Matth. 14, 36 Parr. — **6** Vgl. Marc. 5, 24 — **6f** Vgl. Luc. 8, 45 — **8** Matth. 27, 35 Parr.

182.
Matth. 9, 20—22

[Ὡς ἀκάθαρτος οὖσα διὰ τὸ πάθος οὐ προσῆλθε φανερῶς ἡ γυνή, μήπως κωλυθῇ ὑπὸ τῶν Ἰουδαίων, ἤτοι ὡς εὐτελὴς ἐνόμισε λανθάνειν. πλὴν ἀνενδοιάστως ἤλπισεν ὑγιαίνειν, ἐὰν μόνον ἅψηται τοῦ ἱματίου τοῦ ἄκρου· τοῦτο γάρ ἐστι τὸ κράσπεδον. τί οὖν ὁ σωτήρ; ἐδημοσίευσεν αὐτὴν οὐχ ὡς δόξης ἐρῶν, ἀλλ' ἵνα δέους ἀπαλλάξῃ ὑπὸ τῆς συνειδήσεως κεντουμένην ὡς κεκλοφυῖαν τὴν δωρεάν, καὶ ἵνα μὴ νομίσῃ ὅτι ἔλαθε, καὶ ἵνα τὴν πίστιν αὐτῆς δημοσιεύσῃ πρὸς ὠφέλειαν ἡμῶν, καὶ ὅπως ὁ ἀρχισυνάγωγος εἰς πίστιν βεβαιωθῇ. ἵνα δὲ δείξῃ ὅτι οὐδεὶς ἔχων ἀκούσιον πάθος ἀκάθαρτος παρὰ θεῷ, προσκαλεῖται αὐτήν, ἵνα τὸν τυπικὸν νόμον εἰς πνευματικὴν μεταγάγῃ θεωρίαν. θυγατέρα δὲ αὐτὴν καλεῖ ὡς τῇ πίστει γεγονυῖαν, διὸ καὶ ἰάθη ἀκούσασα ὅτι ἡ πίστις σου σέσωκέν σε. ὅτι δὲ μὴ τὰ ἱμάτια αὐτοῦ σέσωκεν αὐτήν, φησὶν ἡ πίστις σου σέσωκεν. οὕτως οὔτε τόπος οὔτε λόγος οὔτε τι ἕτερον τῶν ἔξωθεν σῴζει, ἀλλ' ἕκαστον ἡ πίστις αὐτοῦ.]

C[1b] 2. 4 (bei C[1b] 4 ist freilich fraglich, ob das Scholion noch bis *τοῦ τυράννου* [vgl. Heinrici, 99 App.], bis *τὴν τεθνηκυῖαν* *Π* 99, 1 oder bis *τοὺς νεκρούς* *Π* 99, 11 weitergeht); dagegen in C[1a] 1. 2 C[1b] 5 (hier bis Z. 4 *κρασπέδου*) dem *Ἀνεπίγραφος* gehörig, vgl. *Π* 98, 6—19, auch *B* (Matthaei I 93, 26ff, 95, 15f). In der Tat ist das Wesentliche Exzerpt aus Chrysostomus hom. 31 p. 357 D—358 E. Zu Z. 8—10 vgl. ein Kyrill-Scholion bei Cramer I 70, 23—25, zu Z. 11f Nr. 181 Z. 7f

4 Vgl. Matth. 14, 36 ?

183.

Matth. 9, 22

Ἰασάμενος αὐτῆς τὸ σῶμα καὶ τὴν ψυχὴν εὐεργετεῖ πέμπων αὐτὴν εἰς τέλος ἀγαθὸν τὴν εἰρήνην. ἐν ᾗ κατοικεῖν λέγεται ὁ θεὸς κατὰ τὸ »ἐν εἰρήνῃ ἁγίᾳ ὁ τόπος αὐτοῦ«.

C^a: i. m. ωρ ωρ̄ = *ὡραῖον Ὠριγένους?* Vgl. *B* (Cramer I 321, 6—9 Matthaei I 95, 19)

1ff Vgl. Marc. 5, 34 — 2 Ps. 75, 2

184.

Matth. 9, 23

[*Ἔθος ἦν τὰς ἀγάμους κόρας, ἡνίκα εἰσὶ πρὸς ὥραν γάμου τελευτώσας, θρηνεῖν διὰ τῶν συμβολικῶν τοῦ γάμου. διὸ καὶ αὐληταὶ ἦσαν εἴσω, εἰ καὶ παρὰ τὸ πρόσταγμα τὸ Μωσαϊκὸν τότε ἐποίουν τοῦτο οἱ Ἰουδαῖοι.*]

C^lb (2 anon. ?). 4, dagegen unter *Κυρίλλου* C^c C^lc C^v, ähnlich auch C^a; s. *Π* 98, 18 App. (auf S. 99). Ähnlich C^p unter *Χρυσοστόμου* (*Ἔθος ἦν τοῖς παλαιοῖς — τὸ τοιοῦτον*)

1 *ἦν τὰς*] *τοῖς ἀνθρώποις τὰς* C^a C^c C^lc 3 Wohl ein Schluß e silentio

185.

Matth. 9, 24

Πῶς εἶπεν ὅτι οὐκ ἀπέθανε καίτοι ἀποθανούσης; ὅτι οἱ ἐλπίδα ἔχοντες τῆς ἐν Χριστῷ ἀναστάσεως οὐκ ἀπέθανον ἀλλὰ καθεύδουσιν. διό φησιν ὁ ἀπόστολος· »οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα«. ἅμα δὲ σμικρύνων τὸ ἔργον ὃ ἔμελλε ποιεῖν, μᾶλλον δὲ κρύπτων αὐτό, ἔλεγεν ὅτι καθεύδει,

C^b (unter *τοῦ ἐλεεινοῦ Ὠριγένους*) C^lb 1. 5

Οἱ ἐλπίδα ἔχοντες τῆς ἐν Χριστῷ ἀναστάσεως οὐκ ἀπέθανον, ἀλλὰ καθεύδουσι. διό φησιν ὁ ἀπόστολος· »οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα«. ἅμα δὲ καὶ σμικρύνων τὸ ἔργον ὃ ἤμελλε ποιεῖν, μᾶλλον δὲ κρύπτων αὐτό, ἔλεγεν ὅτι καθεύδει·

C^a (bis Z. 9 *ἐλπίδα*) C^c 1. 2. 3 C^la 1. 2

5 I. Thess. 4, 13

ἵνα εἰπόντων ἐκείνων ὅτι ἀπέθανεν, ὅταν ἀναστῇ, μὴ δυνηθῶσιν ἀρνήσασθαι τὸ γεγονός. διὸ καὶ ἑξῆς παρῄνει μηδενὶ λέγειν.

13 Vgl. Luc. 8, 56

186.

Matth. 9, 24

Παρ' αὐτῷ ὁ θάνατος ὕπνος ἦν εὐκόλως ἀναστῆσαι δυναμένῳ. εἰ δὲ καταγελῶσιν αὐτοῦ μὴ θαυμάσῃς· μαρτυροῦσι γὰρ μᾶλλον τῷ θαύματι ὡς νεκρὰν τῷ ὄντι ἀναστήσαντος· ἵνα γὰρ μή τις λέγῃ ὅτι κάτοχος ἐγένετο, διὰ τοῦτο ὡμολογήθη παρὰ πάντων ἀποθανεῖν.

C[b] mit ἄλλως τε unmittelbar an Nr. 185 angeschlossen. Dazu vgl. Theophyl. 232 B

187 I.

Matth. 9, 27—30

Υἱὸς Δαυὶδ λέγεται ὁ Χριστὸς διὰ τὴν ἐξ ἐκείνου σάρκα. οἱ οὖν βοῶντες υἱὸν Δαυὶδ Χριστὸν μὲν αὐτὸν ἔχουσιν, »κατὰ σάρκα« δὲ γινώσκουσι νήπιοι ὄντες ἔτι. παρήγγειλε δὲ αὐτοῖς ⟨μηδενὶ λέγειν⟩· οὐ γὰρ ἐβούλετο αὐτοὺς τὴν γεγενημένην ἴασιν λέγειν, ἀλλ' ὁρᾶσθαι ὑπὸ πάντων τὸ γενόμενον.

C[la] 1. 2. 3 C[lc]; Z. 3f vgl. Nr. 187 IV Z. 2—4

1f Vgl. Hier. in Matth. 54 D: *si enim non est natus in carne, quomodo vocatur filius David?* — 2 Vgl. II. Kor. 5, 16

3f παρήγγειλε—Schluß < C[la] 2 3 ⟨μηδενὶ λέγειν⟩ nach Nr. 187 III Z. 6, 187 IV Z. 1f Diehl

187 II.

Matth. 9, 27—31

Οἱ βλέποντες οὐκ ἔγνωσαν τὸν υἱὸν Δαυίδ, οἱ δὲ τυφλοὶ ἐπέγνωσαν, ἵνα πληρωθῇ τὸ ὑπ' αὐτοῦ εἰρημένον (τὸ »ἐγὼ εἰς κρίσιν τοῦ κόσμου ἐλήλυθα, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν«) καὶ οἱ τυφλοὶ ἀναβλέψωσι. πῶς ἐπέγνωσαν, εἰ μὴ πάντως εἶχον τὸν ὁδηγοῦντα αὐτοὺς νοῦν ἀκολουθεῖν τῷ καλῷ ποιμένι;

C[a] C[la] 1. 2. 3 C[lc]

2 Joh. 9, 39 — 4 Vgl. Joh. 10, 11

3 πῶς — 4 ποιμένι < C[a], wo dafür Nr. 187 III[f] steht

187 III.

Matth. 9, 27—31

Φεύγων δὲ τὸ φιλόκομπον ἄγει αὐτοὺς εἰς τὴν οἰκίαν κἀκεῖ αὐτοὺς ἰᾶται. διὰ τοῦτο δὲ καὶ παρήγγειλε μηδενὶ εἰπεῖν, τὸ μὴ δεῖν ἐπιδείκνυσθαι διδάσκων ἡμᾶς (οὐ γὰρ θεῷ κόμπος ἦν τὸ τὴν ἀλήθειαν λέγεσθαι περὶ αὐτοῦ), ἢ καὶ ἐπειδὴ ᾔδει ὅτι ἤμελλον αὐτὸν πᾶσιν ἀνακηρύττειν, ἵν' ὅταν κηρύξωσι μὴ ἐπ' αὐτὸν ἀνακλασθῇ ἡ αἰτία, ὅτι αὐτὸς παρήγγειλεν αὐτοῖς τοῦτο ποιεῖν. οὐχ ὡς ἀπειθοῦντες δὲ καὶ αὐτοὶ τῇ προστάξει τοῦτο ἐποίουν, ἀλλ' ἀνυμνοῦντες τὸν εὐεργέτην. [ἀπαιτεῖ δὲ καὶ τὴν πίστιν, ἵνα μὴ δόξῃ διὰ φιλοτιμίας τοῖς θαύμασιν ἐπιπηδᾶν, καὶ ἵνα μάθωσι καὶ οἱ λοιποί. ὅτι τότε ἡ φιλανθρωπία ποιεῖ τὸ ἑαυτῆς, ὅτε ἔχει συγκεκραμένην τὴν τῶν θεραπευομένων πίστιν.]

C^{a}: vgl. zu Z. 6—9 Nr. 187 IV Z. 1—6. Vgl. *Π* 100, 5—13. Z. 18 ff entstammt Chrysostomus hom. 32 p. 365 A

[Κόμπος οὐδείς, ἐὰν ἡ δύναμις λέγῃ περὶ ἑαυτῆς τὸ δύνασθαι· κόμπος δ' ἂν ἦν τῷ μὴ φύσει τὸ δύνασθαι ἔχοντι ἀλλὰ διὰ χάριτος λαμβάνοντι λέγειν ὅτι δύναμαι. παρήγγειλε δὲ ὁ σωτὴρ τοῖς τυφλοῖς τὸ μηδενὶ ἐξειπεῖν τὸ γενόμενον, τὸ μὴ δεῖν ἐπιδείκνυσθαι διδάσκων ἡμᾶς (οὐ γὰρ θεῷ κόμπος ἦν τὸ τὴν ἀλήθειαν λέγεσθαι περὶ αὐτοῦ), ἡ δὲ τῶν ἰαθέντων ὁμολογία περὶ τῆς ἰάσεως οὐκ ἔγκλημα αὐτοῖς ἤνεγκεν, ἀλλ' εὐγνωμοσύνην ἐμαρτύρησεν.]

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc} als Apollinaris-Scholion

187 IV.

Matth. 9, 30. 31

Ἰησοῦς παραγγέλλων τοῖς ἰωμένοις μηδενὶ λέγειν τὰς εὐεργεσίας

C^{c} 1. 2. 3; dagegen C^{lc} als Schluß eines Chrysostomus-Scholions; zu Z. 1ff. vgl. Nr. 187 III Z. 6f

1 Ἰησοῦς παραγγέλλων] ὅσῳ παραγγέλλει C^{lc}

Τοὺς τυφλοὺς ἐθεράπευσεν ὁ σωτὴρ καὶ οὐκ ἐβούλετο αὐτοὺς εἰπεῖν, τίς ἐστιν ὁ θεραπεύων αὐτούς.

C^{p}; zu Z. 1—3 vgl. Nr. 187 I; vgl. zu Z. 6—8 *Π* 100, 12f

ἡμᾶς διδάσκει φεύγειν τὸ ἐπιδεικτικὸν ὡς αἴτιον τῶν κακῶν.

ἀλλ᾽ ὁρᾶσθαι ὑπ᾽ αὐτῶν τε καὶ τῶν ἄλλων, κωλύων ἡμᾶς μὴ καυχᾶσθαι ἐν τοῖς ἡμετέροις μηδὲ σαλπίζειν ἐνώπιον τῶν ἀνθρώπων. πόλιν γὰρ »ἐπάνω ὄρους« κειμένην ἀδύνατον »κρυβῆναι«.

6f Vgl. Matth. 6, 2 — 9f Vgl. Matth. 5, 14

188.

Matth. 9, 36

Τοῦ καλοῦ ποιμένος ἐστὶν τὸ σπλαγχνίζεσθαι ἐπὶ τὰ ἴδια πρόβατα καὶ συμπάσχειν τῷ ἀσθενοῦντι προβάτῳ, καὶ μάλιστα τοῦ σωτῆρος τὸ ἐπὶ τὸ ἴδιον πλάσμα σπλαγχνίζεσθαι.

C^{la} 1. 3

1 Vgl. Joh. 10, 11f

189.

Matth. 9, 37

Θερισμὸν λέγει τὸν ὄχλον τῶν ἐπιτηδείως ἐχόντων πρὸς θεοσέβειαν. ἐργάται δὲ θερισμοῦ εἰσιν οἱ κατὰ τὸ εὐαγγέλιον διδάσκαλοι. ἔστι δὲ καὶ ἕτερος θερισμὸς ἡ συντέλεια τοῦ αἰῶνος κατὰ τὸ »ἄφετε τὰ ζιζάνια. »καὶ ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς«.

C^{c} 1. 2. 3 C^{la} 1. 3 (C^{la} 1. 3 bis Z. 3 *αἰῶνος*) C^{lc}

1f Vgl. Hier. in Matth. 56 A: *messis multa omnis turba credentium est, operarii pauci apostoli et imitatores eorum, qui mittuntur ad messem* — 3 Matth. 13, 30

190.

Matth. 9, 37

Εἰ οἱ θερισταὶ ἄγγελοί εἰσι, καὶ νῦν τοῖς ἀγγέλοις τῶν ἀποστόλων λέγεται ταῦτα. θερισμὸς δὲ τῶν ἐπὶ τὴν καλὴν γῆν ἑαυτῶν λαβόντων σπόρον τὸν λόγον. θερισταὶ δὲ ὀλίγοι· οὐ γὰρ πολλοὶ οἱ ἀνεπαισχύντως ὀρθοτομοῦντες »τὸν λόγον τῆς ἀληθείας«.

C^{c} 1. 2. 3; vgl. *Π* 103, 7—10

1 Vgl. Matth. 13, 39 — 2f Vgl. Matth. 13, 8 — 4 Vgl. II. Tim. 2, 15

191.

Matth. 9, 37. 38

Ὁρᾶτε, φησίν, ὅση μὲν τῶν πιστευόντων ἡ ἐπίδοσις, ὅπως δὲ οὐκ εἰσιν οἱ τὰ προσήκοντα διδάξοντες αὐτούς, ὡς ἐντεῦθεν αὐτοὺς ἀναγκάζεσθαι ἐμοὶ κατακολουθοῦντας τοσοῦτον κάματον ὑπομένειν· τὸ γὰρ ὀλίγοι ἐργάται ἐνταῦθα ἀντὶ τοῦ οὐκ εἰσι λέγει, τὴν ὀλιγότητα ἀντὶ τοῦ οὐκ εἶναι τεθεικώς, ὡς καὶ παρὰ τῷ Δαβὶδ τὸ »ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων«. θεριστὰς δὲ τοὺς ἀποστόλους ἐκάλεσε, δεικνὺς ὅτι καὶ τὰ διὰ τῶν προφητῶν γεγονότα διὰ τῆς αὐτοῦ δυνάμεως καὶ ἐπιχορηγίας ἐγένετο, καὶ ὅτι καὶ προφητῶν καὶ ἀποστόλων αὐτὸς κύριος καὶ πάντων ἀνθρώπων ὡς δημιουργός, καὶ ἐπὶ τὸν ἑαυτοῦ σπόρον οὐκ ἐπ' ἀλλότριον ἀποστέλλει τοὺς μαθητάς.

C^{la} 1. 2. 3 (C^{la} 1. 2. 3 bis Z. 6 *ἀνθρώπων*) C^{lb} 1. 5 C^{lc}; dagegen stehen Z. 6 *θεριστὰς* — 10 in C^{a} unter *ΙΩ ΘΕ* (vgl. Chrysostomus hom. 32 p. 368 A)

5 Ps. 11, 1

192.

Matth. 9, 38. 39. 10, 1

Εἶτα προχειρίζεται εἰς τὸν θερισμὸν ἐργάτας τοὺς δώδεκα μαθητάς, δοὺς αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων καὶ νόσους θεραπεύειν ὡς θεός, ἵνα διὰ τούτου καταπτήσσοντας τοὺς ἀνθρώπους ⟨καὶ⟩ πειθηνίους ἔχωσι τοὺς ἀκροατὰς εἰς τὸ κήρυγμα.

C^{lb} 1. 5 C^{lc} (C^{lc} + Nr. 193); vgl. *Π* 103, 11—15

3 *καταπτήσσοντας* C^{lb} 1 *Π* l. *καταπλήσσοντας*? Elt 4 *⟨καὶ⟩* Kl

193.

Matth. 10, 1

[Εἰ καὶ μηδέπω ἦν πνεῦμα ἅγιον δοθέν, ἀλλ' ὅμως ἀπὸ μόνης ἐπιταγῆς τοῦ Χριστοῦ τὴν τοιαύτην ἔλαβον ἐξουσίαν]	*Ὡς καλὸς διδάσκαλος ἀφθόνως τοῖς τελείοις τὰ τέλεια μαθήματα παραδίδωσι καὶ ὡς ἐπιστήμων ἀρχίατρος τοῖς φιλοπόνοις μαθηταῖς τὴν ἐπιστημονικὴν ἰατρικήν,*
οὐ μόνον σωματικὴν ἀλλὰ καὶ ψυχικὴν πληγὴν θεραπεύειν.	*οὐ μόνον σωματικὴν ἀλλὰ καὶ ψυχικὴν πληγὴν θεραπεύειν·*
C^{lc}(?): der Anfang entspricht ganz Chrysostomus hom. 32 p. 368 B (367 C), vgl. auch C^{n}	C^{v}

1—5 Vgl. Hier. in Matth. 56 B: *benignus et clemens dominus ac magister non invidet servis atque discipulis virtutes suas, et sicut ipse curaverat* etc.

διὰ γὰρ τῆς παρακοῆς τοῦ Ἀδὰμ περιέπεσεν ὁ ἄνθρωπος ποικίλαις νόσοις ψυχικαῖς τε καὶ σωματικαῖς. καὶ ἐξουσίαν αὐτοῖς ἔδωκεν καὶ πνευμάτων ἀκαθάρτων τῶν τὰς τοιαύτας νόσους ἀοράτως ἐνεργούντων, ὥστε ἐκβάλλειν αὐτάς, (C^{lc} C^{v}) ἵνα τὰ συναμφότερα συμφωνήσαντα ἐπὶ τὸ αὐτό, λέγω ψυχή τε καὶ σῶμα, ἐπὶ τὸ αὐτὸ δοξάσωσι καὶ εὐλογήσωσι τὸν θεὸν τὸν ἑνώσαντα αὐτά.

194.
Matth. 10, 2—4

Κατὰ δὲ τὸν Λουκᾶν· Πέτρος, Ἀνδρέας, Ἰάκωβος, Ἰωάννης, Φίλιππος καὶ Βαρθολομαῖος, Ματθαῖος καὶ Θωμᾶς, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ καλούμενος ζηλωτής, Ἰούδας Ἰακώβου, Ἰούδας Ἰσκαριώθ, ὃς καὶ ἐγένετο προδότης«. κατὰ δὲ τὸν Μᾶρκον· Σίμων ὁ καὶ Πέτρος, Ἰωάννης καὶ Ἰάκωβος οἱ καὶ Βοανεργές, Ἀνδρέας καὶ Φίλιππος, Βαρθολομαῖος Ματθαῖος καὶ Θωμᾶς, Ἰάκωβος Ἀλφαίου, Θαδδαῖος, Σίμων καὶ Ἰούδας Ἰσκαριώθ. ἔν τισι δὲ τοῦ κατὰ Μᾶρκον εὐαγγελίου εὑρίσκεται »Ἰάκωβον τὸν τοῦ Ἀλφαίου« ⟨ἀντὶ τοῦ »Λευὶ τὸν τοῦ Ἀλφαίου«⟩· κατ' αὐτὸν τὸν Μᾶρκον μετὰ τὴν θεραπείαν τοῦ παραλυτικοῦ »παράγων εἶδε Λευὶ τὸν τοῦ Ἀλφαίου καθήμενον ἐπὶ τὸ τελώνιον«. ἔοικεν οὖν διώνυμος εἶναι. ἐσημειώσατο δὲ ἐπιτηδείως τῶν ἀποστόλων τὰ ὀνόματα, ἵνα μηδενὶ πεισθῶμεν ἑτέρῳ παρὰ τοὺς εἰρημένους. ᾔδει γὰρ ὅτι ἔμελλόν τινες ψευδαπόστολοι ἐπιφημίσαι ἑαυτοῖς τὸ τοιοῦτον ἀξίωμα. [οὐ κατὰ προτίμησιν δὲ ποιεῖται τὰς ὀνομασίας· ὁ γὰρ Θωμᾶς καταδεέστερος ἦν τοῦ Ματθαίου καὶ ὁ Ἰωάννης οὐ μόνον τοῦ ἀδελφοῦ ἀλλὰ καὶ τῶν ἄλλων μείζων ἦν. δύο δὲ ἦσαν Σίμωνες, εἷς ὁ καὶ Πέτρος καὶ ἕτερος ὁ Καναναίτης· δύο Ἰάκωβοι, εἷς ὁ τοῦ Ζεβεδαίου καὶ ἄλλος ὁ τοῦ Ἀλφαίου· δύο Ἰοῦδαι, ⟨εἷς ὁ Ἰακώβου καὶ ἄλλος⟩ ὁ προδότης· καὶ ὁ καλούμενος Ἰσκαριώτης δὲ ἀπὸ τῆς πόλεως αὐτοῦ καλεῖται, ὃν καὶ προδότην καλεῖ.]

C^{a}: mit Schlußzeichen hinter Z. 4 *προδότης* und Z. 7 *Ἰσκαριώθ*; der Schluß aus Chrysostomus hom. 32 entnommen: Z. 13ff entsprechen p. 368 DE, Z. 14f. 18 p. 369 A; vgl. *Π* 104, 1—105, 4

1ff Vgl. Luc. 6, 16 — **4f** Vgl. Marc. 3, 16ff — **7ff** Marc. 2, 9. 14 — **7f** Vgl. Orig. c. Cels. I, 62 (Or. I 113, 19ff): *ὁ Λευὴς . . . οὔτι γε τοῦ ἀριθμοῦ τῶν ἀποστόλων αὐτοῦ ἦν εἰ μὴ κατά τινα τῶν ἀντιγράφων τοῦ κατὰ Μᾶρκον εὐαγγελίου* (so im NT codd. DΘ it^{var}) — **10ff** Vgl. Hier. in Matth. 56 B

6 *Θωμᾶς* Elt *Ματθαῖος* C^{a} **8** ⟨*ἀντὶ — Ἀλφαίου*⟩ Kl **11** *μηδενὶ* Kl *μηδὲν ὁ* C^{a} **17** ⟨*εἷς — ἄλλος*⟩ Kl nach *Π*

195 I.

Matth. 10, 2

Ἧ ὤφειλε καὶ τὰ ὀνόματα ἐνδείξασθαι τῶν ἤδη γεγραμμένων ἐν βίβλῳ ζώντων ἐν οὐρανοῖς. δώδεκα δὲ κατὰ ἀριθμὸν τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ καὶ τῶν δώδεκα λεγεώνων ⟨τῶν ἀγγέλων⟩ καὶ τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ (»ἐνιαυτὸν« γὰρ ἔφη τις »κυρίου δεκτὸν«) καὶ τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας, »ἣν ἐποίησεν ὁ κύριος«.

C^{lb} 1. 2. 4. 5 C^{lc}

Δώδεκα μαθητὰς ὁ σωτὴρ ἐξελέξατο κατὰ ἀριθμὸν τῶν δώδεκα λεγεώνων τῶν ἀγγέλων ἢ καὶ τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας. τέλειος γάρ ἐστιν ὁ ἓξ ἀριθμός· τοῦτον δὲ τὸν ἀριθμὸν διπλασιάσας ἰσαρίθμους τοὺς μαθητὰς ἐποίησεν.

C^{p}

2f Vgl. Ps. 68, 29 — 6 Vgl. Matth. 26, 53 — 7f Vgl. Jes. 61, 2 — 9f Ps. 117, 24

6 *⟨τῶν ἀγγέλων⟩* Diehl

195 II.

Matth. 10, 5

[Τούτους ποίους; τοὺς ἁλιεῖς, τοὺς ἰδιώτας, τοὺς τελώνας, τοὺς πτωχούς, τοὺς ἀγεννεῖς], οἳ δώδεκα τὸν ἀριθμὸν ἦσαν, κατὰ ἀριθμὸν τῶν δώδεκα λεγεώνων καὶ τῶν δώδεκα μηνῶν τοῦ ἐνιαυτοῦ (»ἐνιαυτὸν« γὰρ ἔφη τις »κυρίου δεκτὸν« τοὺς δώδεκα ἀποστόλους πρὸ χρόνων πολλῶν τῆς παρουσίας τοῦ Χριστοῦ) ἢ καὶ τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας »ἣν ἐποίησεν ὁ κύριος«. σὺ δὲ καὶ ἕτερα ζήτει ὑψηλότερα τούτων αἴτια οἴκοθεν.

C^{b}; zu Z. 1 (bis *τελώνας*) = Theophyl. 236 C Cramer I 74, 20f: dies stammt aus Chrysostomus hom. 32 p. 369 B. Zu Z. 2—5 vgl. Nr. 195 I

2 Vgl. Matth. 26, 53 — 3f Vgl. Jes. 61, 2 — 5 Ps. 117, 24

196*).

Matth. 10, 5—10

Οὐ τελείως ἀπέκοψεν τοὺς ἀπὸ τῶν ἐθνῶν μέλλοντας πιστεύειν οὔτε τοὺς Σαμαρείτας ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. ἀλλ' ἔδει πρῶτον ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ πορεύεσθαι, καθὰ καὶ αὐτὸς πρὸς τὴν Χαναναίαν φησίν· οὐκ ἀπεστάλην εἰ μὴ πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα. δωρεὰν ἐλάβετε, δωρεὰν δότε. τοὺς κατεσθίοντας τὰς οἰκίας τῶν χηρῶν Φαρισαίους ἀποτρέπει μιμήσασθαι. καινὸν τρόπον διδασκαλίας τὸν καθαρὸν καὶ ἀδωροδόκητον εἰσάγων καὶ τὴν πρὸς ἑαυτὸν ὑποδεικνὺς ἐν τῷ πράγματι μίμησιν· καθὸ τοὺς λαβόντας δωρεὰν παρ' αὐτοῦ τὰ χαρίσματα δωρεὰν κελεύει καὶ μεταδοῦναι· μήτε οὖν χρυσὸν μήτε ἄργυρον ἢ χαλκὸν τῆς κατὰ τὴν ὁδὸν ἕνεκα λαβεῖν ἀνάσχησθε (φησί) χρείας. ἀλλὰ μηδὲ πήραν ἔχειν ὑμᾶς βούλομαι, ὥστε καὶ ἀπὸ τοῦ σχήματος δεικνύναι πᾶσιν ὑμᾶς, ὅσον ἀφεστήκατε χρημάτων ἐπιθυμίας.

C^a unter *ΘΕ ϖ*; Z. 1—4/5 (mit anderem Schluß) unter *Ἀπολιναρίου* in C^la 1 C^lb 1 (vgl. Heinrici 106 App.). 5, zu Z. 10—13 vgl. *B* (Matthaei I 98, 1—6)

2f Vgl. I. Tim. 2, 4 — **5** Matth. 15, 24 — **6f** Vgl. Marc. 12, 40 Luc. 20, 47 — **8ff** Vgl. Hier. in Matth. 58 B: *ego magister et dominus absque pretio hoc vobis tribui, et vos sine pretio date, ne evangelii gratia corrumpatur*

1 *πιστεύειν* C^la 1 C^lb 1. 5 *νηστεύειν* C^a

*) Hinter Nr. 196 hat cod. Ambros. D inf. 446 (976) nach Heinrici 107 App. vier sonst dem Apollinaris zugeschriebene Scholien unter dem Namen des Origenes

197.

Matth. 10, 6

Κατὰ μὲν τὸ αἰσθητὸν οὕτως· οὔπω ἦσαν παραιτησάμενοι τὴν διδασκαλίαν οἱ Ἰουδαῖοι. περικόπτων οὖν πᾶσαν πρόφασιν αὐτῶν ταῦτα ἐνετέλλετο. ὅτε δὲ ἀπώσαντο τὸν λόγον ἤκουσαν τό· »ἰδοὺ ἡμεῖς στρεφόμεθα εἰς τὰ ἔθνη«.
ἔχει δὲ καὶ ἕτερον νοερὸν λόγον, ὅνπερ ζήτει.

C^la 1. 3; aber C^lc unter *Ἀνεπιγράφου*

Κατὰ μὲν τὸ αἰσθητὸν οἱ Ἰουδαῖοι τὴν διδασκαλίαν οὐ παρῃτήσαντο. ὁ δέ γε Χριστὸς περικόπτων αὐτῶν πᾶσαν πρόφασιν ταῦτα τοῖς ἀποστόλοις ἐνετέλλετο. αὐτῶν δὲ ἀπωσαμένων τὸν λόγον πρὸς τὰ ἔθνη μετέβη ὁ τῆς ἀληθείας λόγος.

C^P

6 Act. 13, 46

198.

Matth. 10, 7—15

Ταῦτά φησιν ὥστε μὴ εὐκόλου καὶ προχείρου γνώμης ἀποφέρεσθαι δόξαν παρὰ τοῖς τὴν πόλιν οἰκοῦσιν. ἰσόρροπον δὲ τοῖς Σοδομίταις τὴν τιμωρίαν τοῖς μὴ δεξαμένοις ἐπάγει, ἐπειδήπερ οἱ μὲν ἐπὶ ξενίαν ἐληλυθέναι δοκοῦντας τοὺς ἀγγέλους ἐνύβρισαν, οἱ δὲ ἐπὶ βασιλείαν καλοῦντας παρῃτοῦντο. βασιλείαν δὲ οὐρανῶν λέγει τὴν διὰ πίστεως χάριν, τὴν διὰ πνεύματος υἱοθεσίαν τὴν ἐνοῦσαν θεῷ τὸν ἄνθρωπον. ἠγγικέναι δὲ λέγει οὐχ ὡς ἐπίπαν (ἦν γὰρ ἐγγίσασα τοῦ κυρίου σαρκωθέντος), ἀλλ' ὅσον πρὸς τοὺς μήπω πιστεύσαντας δοκεῖ ὁ Χριστὸς ἀπεῖναι αὐτῶν.

C[a] unter *Θε Θε Απ̊ ɗБ*; dagegen Z. 1—2 (*οἰκοῦσιν*) unter Theodoret bei Cramer I 76, 12—14, zu Z. 3—5 eine *'Ανεπίγραφος*-Parallele in Hss. von *Π* (C[lb] 1. 5), vgl. Heinrici 108 App.

2ff Vgl. Gen. 19 und Hier. in Matth. 60 C: *quia Sodomis et Gomorris non fuit praedicatum, huic autem praedicatum sit et tamen non receperit evangelium.* — **5. 6** Vgl. Luc. 10, 9

1 *εὐκόλου* nach Cramer *εὐκόλους* C[a] — **8** *αὐτῶν*] danach Schlußzeichen und Anfang eines neuen Scholions *"Αλλος φησὶν κτλ.* C[a]

199.

Matth. 10, 10. 11

Διὰ τὸ βέβαιον καὶ ἀμετάστατον· τοῖς μὲν γὰρ ἐμπορευομένοις μετιέναι ἐξ ἑτέρων εἰς ἑτέρους ἁρμόσει, τοῖς δὲ ἀδωροδοκήτοις οὐκέτι. δικαίαν δὲ ἔδειξεν τὴν τῶν ἀναγκαίων ἀπόλαυσιν παρὰ τῶν διδασκομένων, τῶν ἐργαζομένων οὖσαν μισθόν. τροφὴν δὲ εἰπὼν τὴν τρυφὴν ἀπεκώλυσεν.

C[b] C[c] 1. 2. 3 C[la] 1. 3 C[lb] 1. 2. 4. 5 C[lc]

1f Vgl. Luc. 10, 7 — **2f** Vgl. Hier. in Matth. 59 E: *hospes unus eligitur, non tribuens beneficium ei qui apud se mansurus est, sed accipiens* — **2ff** Vgl. Luc. 10, 7

2—4 *δικαίαν — μισθόν* < C[la] 1 — **3—4** *παρὰ — μισθόν* < C[lb] 2. 4. 5 — **3—4** *παρὰ — ἀπεκώλυσεν*] *δι' ἧς τὸ σῶμα συνίσταται τὸ σῶμα* (sic) C[b]

200.

Matth. 10, 14. 15

Οὐδὲ κονιορτὸν θέλει ἔχειν αὐτοὺς ἐπὶ τῶν ποδῶν ἐκ τῆς τῶν ἀνοσίων ἀνθρώπων γῆς, δεικνύντας ὅτι οὐδὲν ἐκομίσαντο ἀπὸ τῶν ἀπειθῶν. δεῖγμα δέ ἐστι καὶ ὁ κονιορτὸς τοῦ κόπου, ὃν ὑπέμειναν δι' αὐτούς [ἢ ὥστε δεῖξαι μηδὲν λαβεῖν αὐτοὺς παρ' αὐτῶν] μηδὲ βούλεσθαι. λέγει δὲ ὅτι καὶ χείρονα τῶν Σοδομιτῶν πείσονται, ὅτι ἐκεῖνοι μὲν ἀγγέλους ἠτίμασαν οὗτοι δὲ τοὺς ἀποστόλους τοὺς ἐν τάξει ἀγγέλων ὄντας, μᾶλλον δὲ τὸν ἀποστείλαντα αὐτοὺς καὶ τὸν ἐκείνου πατέρα, καὶ οἱ μὲν ἐπὶ ξενίαν ἐληλυθέναι δοκοῦντας οἱ δὲ ἐπὶ βασιλείαν καλοῦντας.

C^{lb}1; in anderen Hss. bedeutet *τοῦ αὐτοῦ*: *'Ανεπιγράφου*, oder, wie in C^{lc} Theodoret. **3f** entstammt Chrysostomus hom. 32 p. 372 B. Vgl. *II* 107, 15—108, 3 und zu Z. 4—8 Nr. 198 Z. 2—5

5 Vgl. Gen. 19

3 *αὐτοὺς* nach *Π* *αὐτὸν* C^{lb} 1

201.

Matth. 10, 16

Πρόβατά εἰσιν οἱ τῇ ὑπακοῇ καὶ παντὶ καλῷ πεποιωμένοι· τούτων δὲ τὸ ἐναντίον λύκος.

C^{la} 1. 3

202.

Matth. 10, 16

Τῆς πάλαι φρονήσεως τοῦ ὄφεως ὑπομιμνήσκει ὁ κύριος τοὺς μαθητάς· ἐκεῖνος γὰρ βουληθεὶς τὴν οἰκείαν διδασκαλίαν παραδοῦναι καὶ τόπον καὶ καιρὸν καὶ πρόσωπον εὐπειθὲς ἐστοχάσατο, διὸ καὶ ἐπέτυχε τοῦ ἰδίου θελήματος.
οὕτω (φησὶ) καὶ ὑμεῖς.

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc} C^{p}

1f Vgl. Gen. 3, 1

ὁ ὄφις ὅλον τὸ σῶμα προδίδωσι φυλάσσων πάσῃ δυνάμει τὴν ἰδίαν κεφαλήν.
ὁ ὄφις πίνων ὕδωρ ἀποτίθησι τὸν ἰόν.

ὁ ὄφις ὑποχωρεῖ τοῖς διώκουσι καὶ κατακρύπτει ἑαυτόν. καὶ πολλὰ ζητῶν εὑρήσεις ἐν αὐτῷ, ἐν δὲ τῇ περιστερᾷ τὸ καθαρὸν καὶ ἡσύχιον καὶ ἀκέραιον καὶ φιλάνθρωπον καὶ ἀμνησίκακον ἐδήλωσεν. ὑπέμνησε δὲ τῆς πάλαι τοῦ Νῶε περιστερᾶς.

Ὡς γὰρ ὁ ὄφις (φησὶ) πίνων ὕδωρ ἀποτίθησι τὸν ἰόν, οὕτω καὶ ὑμεῖς ἀποτίθεσθε τὴν κακίαν, δεξάμενοι τὸ εὐαγγέλιον.

9ff Vgl. Hier. in Matth. 60 E: *serpentis astutia ponitur in exemplum, quia toto corpore occultat caput* etc. Sachparallele auch bei Chrysostomus hom. 33 p. 379 C. Vgl. noch Lauchert, Physiologus 242f — 22 Vgl. Gen. 6, 8ff

203.
Matth. 10, 17. 18

[*Προσέχειν αὐτούς φησιν ἀπὸ τῶν ἀνθρώπων καὶ τὰ ἑξῆς· καὶ διδάσκει ὁ λόγος ὅτι οὐ μόνον τοῖς Ἰουδαίοις ἔμελλεν αὐτοὺς πέμπειν, ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσι, διὸ καὶ ἐπήγαγεν εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν, τουτέστιν εἰς ἔλεγχον τῶν μὴ πιστευόντων.*]

C[1c], es ist aber Chrysostomus hom. 33 p. 380 D; vgl. *Π* 109, 12—110, 4

204.
Matth. 10, 23

Παρουσίαν λέγει οὐ τὴν ἐπιφανῆ καὶ ἐπίδοξον, τὴν καθόλου συντέλειαν, ἀλλὰ τὴν κατὰ διαφόρους καιροὺς ἐπιφοίτησιν, δι' ἧς ὀπτανόμενος τὴν παρ' αὐτοῦ βοήθειαν παρέξει,

C[c] 1. 2. 3 C[1c]

Σημαίνει ἐνταῦθα τὴν ἑαυτοῦ ἄφιξιν πρὸς αὐτούς, οὐ τὴν ἐπιφανῆ καὶ ἔνδοξον, τουτέστιν τὴν δευτέραν αὐτοῦ παρουσίαν, ἀλλὰ τὴν παρ' αὐτοῦ βοήθειαν καὶ ψυχαγωγίαν κατὰ καιρὸν τοῖς δι' αὐτὸν θλιβομένοις.

C[p]; vgl. *Π* 111, 9—11

1ff Vgl. bes. zu C[p] das Scholion *Θεοδώρου* (*Ἡρακλείας*) bei Cramer I 78, 26 *οὐ τὴν δευτέραν αὐτοῦ λέγει ἄφιξιν, ἀλλὰ τὴν κατὰ καιρὸν ἐσομένην δι' αὐτοῦ τοῖς ἁγίοις ψυχαγωγίαν*

εὐθαρσεῖς αὐτοὺς ποιῶν διὰ τὸ διώκεσθαι.
καὶ πάλιν εἰς τὸ αὐτό·
Ὡς ἐπηγγείλατο ὅτι »ἐλευσόμεθα« ἐγὼ καὶ ὁ πατήρ μου »πρὸς αὐτὸν καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα«.

11 Joh. 14, 23

205.
Matth. 10, 24

Πάσχοντες ὑμεῖς φέρετε, ὡς κἀγώ· οὐκ ἐστὲ γὰρ ὑπὲρ ἐμέ.

C^{la} 1. 3 C^{p}

206.
Matth. 10, 26

Τάχα περὶ τοῦ καιροῦ ἐκείνου λέγει, ὅτε »κρινεῖ ὁ θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων« καὶ »φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν.«
ἢ οὕτως·
ὅσον πειρᾶταί τις καλύπτειν τὰ καλὰ τῇ κατηγορίᾳ, κατὰ φύσιν τὸ καλὸν ἀκάλυπτόν ἐστιν. οὕτω καὶ ἐπὶ τοῦ κακοῦ.

C^{la} 1 (Z. 1—5). 3 C^{lb} 1. 5 C^{lc}, auch C^{luc} vgl. Or. IX 260 Nr. LVI, zu Z. 2—5 Vat. 358

Ὅσον σπουδάζουσί τινες καλύπτειν τὸ καλόν, τοσοῦτον μᾶλλον φανερὸν γίνεται. ὡσαύτως καὶ περὶ τοῦ κακοῦ ἐστι λέγειν.

C^{p}

1—5 Vgl. Hier. in Matth. 62 A: *de futuro tempore scribitur, quando ,,iudicabit deus abscondita hominum" et ,,inluminabit latebras tenebrarum et manifesta faciet consilia cordium"* — 2 Röm. 2, 16 — 3 I. Kor. 4, 5

8 *κατηγορίᾳ*] *πανουργίᾳ* C^{lc} 9 *ἀνακάλυπτον* C^{lc}

207.
Matth. 10, 27—33

Ὅπερ νῦν (φησὶ) κατ' ἰδίαν ὑμῖν λέγω, μετὰ παρρησίας διδάξατε· καὶ ἃ νῦν οὐκ ἐν ἐπηκόῳ πολλῶν διαλέγομαι, ταῦτα καθ' ὑπερβολὴν ἐπὶ

C^{a}; vgl. zu Z. 1—3 *Π* 113, 7—10

τῶν δωμάτων κηρύξατε μὴ φοβούμενοι τοὺς ἀποκτιννύντας σῶμα καὶ μὴ ψυχήν. εἰ γὰρ δίχα προνοίας οὐδὲ τὰ στρουθία ἐπὶ τὴν γῆν πίπτει, οὐδὲ ὑμεῖς ⟨ἂν⟩ ἄνευ τοῦ πατρὸς εἰς διώκοντας ἐμπέσοιτε, ὧν καὶ αἱ τρίχες ἠριθμημέναι εἰσίν. ἴστε δ' ὅτι ὅστις ποτὲ καὶ ὁποῖον βίον ⟨ὁμολογήσας ἐν ἐμοὶ⟩ ὁμολογηθήσεται, ὅ τε δίκαιος δοκῶν ἀρνησάμενος ἀρνηθήσεται.

5 ⟨ἂν⟩ Diehl 7 ⟨ὁμολογήσας ἐν ἐμοὶ⟩ Diehl Kl

208.
Matth. 10, 28

Ἐν τούτοις τὴν μὲν ἀθανασίαν τῆς ψυχῆς ἐδίδαξε καὶ τὴν τοῦ σώματος ἀνάστασιν, ἐν δὲ τοῖς καθεξῆς καὶ τὴν κρίσιν ἐδήλωσε. πῶς δὲ ἀπόλλυσι καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ, ζήτει.

C^{b} (bis Z. 2 *ἐδήλωσε*) C^{1a} 1. 2. 3 C^{1b} 1. 2. 4. 5 C^{1c}; vgl. zu Z. 1—2 Nr. 209 Z. 1—2 ?

209.
Matth. 10, 28—31

Διδάσκει τοίνυν θανάτου καταφρονεῖν, καὶ ὅτι ἀσώματος ἡ ψυχή, καὶ ὅτι ἄνευ σώματος οὐ κολάζεται, καὶ ὅτι τὸ ἀποκτιννύμενον οὐχ ὁ σύνθετος ἄνθρωπος οὐδὲ ἡ ψυχὴ ἀλλὰ τὸ σῶμα ἐξ αἰσθανομένου εἰς ἀναίσθητον μεταβάλλον καὶ ἀποθνῇσκον τὸν κοινὸν θάνατον, ὅτε καὶ ἡ ἔννοια τοῦ θανάτου τηρεῖται οὖσα ζωῆς στέρησις· οὔτε γὰρ τὸ σύνθετον στερεῖται ζωῆς οὔτε ἡ ψυχή, ἤτοι »ἐν κόλποις« οὖσα »Ἀβραὰμ« ἢ ὡς »ὁ πλούσιος« ἐν τῷ ἄντικρυς· ἀπαράδεκτος δὲ οὖσα τοῦ μέσου θανάτου ἑτέρου ἐκ κακίας ἐγγινομένου δεκτική ἐστιν. »ψυχὴ« γοῦν »ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται«. ὡς γὰρ στερήσει φωτὸς ὑφίσταται σκότος καὶ στερήσει ἀρετῆς κακία, οὕτως στερήσει τοῦ εἰπόντος »ἐγώ εἰμι ἡ ζωὴ« θάνατος ὁ ἐχθρὸς αὐτῇ· συγκρίσει τοίνυν ὧν ἐξέθετο δύο φόβων τὸν ἕτερον μᾶλλον φοβεῖσθαι διδάσκει.

C^{a}; vgl. zu Z. 1 *Π* 113, 11, zu Z. 10f. *Π* 113, 15f. C^{b} hat unter *Θεοδωρίτου* Z. 1 bis *καταφρονεῖν*, danach völlig Abweichendes

6 Vgl. Luc. 16, 22. 23 — 7 Zu *μέσος θάνατος* vgl. z. B. Orig. c. Cels. VIII, 32 (Or. II 247, 21) — 8 Ez. 18, 20 — 10 Joh. 11, 25

11 *διδάσκει*] hiernach Schlußzeichen C^{a}

210.
Matth. 10, 28

Τήρει τὸ μᾶλλον προσκείμενον τῷ φοβήθητε, καὶ ὅτι ὡς διαφέροντος τοῦ ἀποκτίννυσθαι παρὰ τὸ ἀπόλλυσθαι περὶ μὲν ἀνθρώπων λέγει τὸ

C^{1a} 1. 2. 3 C^{1b} 1. 5 C^{1c}

ἀποκτιννύναι, περὶ δὲ θεοῦ οὐ τὸ ἀποκτεῖναι, ἀλλὰ τὸ ἀπολέσαι ἐν γεέννῃ. καὶ ὅτι ἐπὶ μὲν ἀνθρώπων γέγραπται οὐ τὸ δυναμένων ἀποκτεῖναι ἀλλὰ τὸ ἀποκτεινόντων, ἐπὶ δὲ θεοῦ οὐ τὸ ἀπολέσαι ἀλλὰ τὸ δύνασθαι ἀπολέσαι. ὅτι δὲ τὸ ἀπολέσαι ἕτερον τοῦ ἀποκτεῖναι, δηλοῖ τὸ τὸν σωτῆρα ἐληλυθέναι »ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός«.

7 Vgl. Luc. 19, 10

4 *καὶ* — 6 *ἀπολέσαι*[1] < C[la] 2. 3 C[lb] 1. 5

211.
Matth. 10, 29—31

Διδάσκει ὅτι καὶ τὰ ἄχρηστα νομιζόμενα προνοίᾳ θεοῦ διοικεῖται. οὐκ εἶπεν δέ· ὑμῶν δὲ καὶ αἱ τρίχες τῶν κεφαλῶν, ἀλλά· τῆς κεφαλῆς, ἥ ἐστι Χριστὸς φέρων ἐν ἡμῖν τρίχας, νοήματα ἐν λόγῳ καὶ ἀριθμῷ ὄντα πρὸς θεόν. συγχρήσῃ δὲ ἐνταῦθα τῷ περὶ τῶν Ναζιραίων μυστηρίῳ καὶ τοῦ Σαμουὴλ καὶ τοῦ Σαμψών. τὸ δὲ πολλῶν διαφερόντων οὐ πάντων δηλοῖ· τάχα γὰρ οὐ διέφερον, παραπλήσιοι δὲ ἦσαν τοῖς λέγουσιν· »ἠγρύπνησα, ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος«, καί· »ἐπὶ τῷ κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ· μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον«; καί· »ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων«.

C[a]; zu Z. 1 vgl. *II* 114, 9f

1f Vgl. Hier. in Matth. 63 C: *si parva animalia et vilia absque deo auctore non decidunt, et in omnibus est providentia* etc. — 3 Vgl. Eph. 4, 15 — 6 Ps. 101, 8 — 7 Ps. 10, 1 — 9 Ps. 123, 7

1 *καὶ τὰ ἄχρηστα* C[a] *II*, Diehl vermutet vor *ἄχρηστα* eine Lücke (vgl. *parva animalia et* Hier.) 4 *συγχωρήσῃ* C[a], corr. Kl

212.
Matth. 10, 29

Τὴν πρόνοιαν ἐν τούτῳ δείκνυσι τῶν πάντων. τὸ δὲ ἄνευ οὐ τὴν βουλὴν δείκνυσιν, ἀλλὰ τὴν πρόγνωσιν· τῶν γὰρ γινομένων ἃ μὲν κατὰ βούλησιν

C[b] C[la] 1 (mit Schlußzeichen hinter *συγχωρήσειν* Z. 3). 2. 3 C[lb] 1. 3. 4. 5 C[lc], zu Z. 3—9 auch Fragm. LVIII in Luc. (Or. IX 261, 12—17); vgl. auch zu Nr. 215

1ff Vgl. Hier. in Matth. 63C: *si . . . in omnibus est providentia* etc. Sachparallele auch bei Chrysostomus hom. 34 p. 391 E

1 *ἄνευ* + *τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς* C[lb] 4

γίνεται, ἃ δὲ κατ᾽ εὐδοκίαν καὶ συγχώρησιν. καὶ ῥητῶς μὲν τὸ λεπτομερὲς τῆς προνοίας καὶ ἡ μέχρι τῶν τυχόντων γνῶσις δηλοῦται. νοητῶς δὲ πίπτει ἐπὶ τῆς γῆς στρουθίον, ἐπὰν (δέον ἄνω φέρεσθαι ἢ ἀναπαύσεως χάριν ἐπὶ ὄρη καὶ βουνούς, τὰ τῆς γραφῆς ἰδιώματα, καθίπτασθαι) τὰ κάτω ζητοῦν ἐπὶ τῆς γῆς πίπτῃ τοῖς τῆς σαρκὸς ἐνεχόμενον κακοῖς, παραδοθὲν »εἰς πάθη ἀτιμίας« καὶ τὸ ἐλεύθερον μετὰ τοῦ τιμίου ἀπολωλεκός. τοιοῦτος δὲ ὁ ὑπὸ λόγου μετεωρισθεὶς καὶ τὰ γήινα φρονήσας.

7 Vgl. Röm. 1, 26

3 καὶ² < C^{la} 1 — 5 ἐπὰν — 8 δὲ] πᾶς C^{b} — 6 τὰ — ἰδιώματα C^{la} 1 ἢ δώματα C^{lb} 1. 5 C^{lc}

213.
Matth. 10, 32

Αὐτόθεν μὲν εἰς μαρτύριον προτρέπει τὰ ῥητὰ καὶ ἀποτρέπει ἀρνήσεως. ὅρα δέ, εἰ μὴ τὸ πλεονέκτημα τοῦ ἐν αὐτῷ ὁμολογοῦντος ἤδη ὄντος ἐν Χριστῷ δηλοῦται ἐκ τοῦ κἀγὼ ἐν αὐτῷ ὁμολογήσω, τὸ δὲ κακὸν τοῦ ἀρνουμένου ἐκ τοῦ μὴ συνῆφθαι τῇ ἀρνήσει τὸ ἐν ἐμοὶ ἢ τὸ ἐν αὐτῷ.

C^{c} 1. 2. 3 C^{lc}, dagegen in C^{la} 1 C^{lb} 5 Anfang eines Ἀνεπίγραφος-Scholions; vgl. *Π* 114, 11—115, 2

1f Vgl. Nr. 217 Z. 1 — 2f Vgl. Chrysostomus hom. 34 p. 392 E

214.
Matth. 10, 34

Εἰρήνην οὐ τὴν τοῦ κόσμου τὴν δὲ ἑαυτοῦ δίδωσι τοῖς μαθηταῖς ὁ σωτήρ, ἣν οὐ βάλλει ἐπὶ τοὺς τὰ αἰσθητὰ καὶ γήινα φρονοῦντας. μάχαιραν δὲ τὸν διακόπτοντα λόγον τὴν ἐπιβλαβῆ φιλίαν ψυχῆς καὶ σώματός φησιν, ἵνα ἡ ψυχὴ ἐπιδοῦσα ἑαυτὴν τῷ στρατευομένῳ »κατὰ τῆς σαρκὸς« πνεύματι φιλιωθῇ θεῷ διχάζοντι τοὺς ἀπὸ φαύλης ἑνώσεως πιστοὺς ἀπὸ ἀπίστων καὶ κοσμικῶν.

C^{b}; vgl. *Π* 115, 11—15. Fast genau so ein Ἀνεπιγράφου-Scholion in C^{la} 1 C^{n}

1f Vgl. Joh. 14, 27 — 2—5 Fast wörtlich wie Orig. tom. I, 31 in Joh. (Or. IV 40, 32 ff): ἄλλως τε καὶ ἐλθὼν οὐκ εἰρήνην ἐπὶ τὴν γῆν (τοῦτ᾽ ἔστιν ἐπὶ ⟨τοὺς φρονοῦντας Kl⟩ τὰ σωματικὰ καὶ αἰσθητά) βαλεῖν ἀλλὰ μάχαιραν καὶ διακόπτων τὴν (ἵν᾽ οὕτως εἴπω) ἐπιβλαβῆ φιλίαν ψυχῆς καὶ σώματος, ἵν᾽ ἡ ψυχὴ ἐπιδιδοῦσα αὑτὴν τῷ στρατευομένῳ κατὰ τῆς σαρκὸς πνεύματι φιλιωθῇ τῷ θεῷ — 4 Vgl. Gal. 5, 17

6 κοσμικῶν] C^{la} 1 fährt fort προτιμωμένης — ὁριζέσθωσαν = *Π* 115, 16 f.

215.

Matth. 10, 34

Κατὰ μὲν τὸ αἰσθητὸν μάχαιραν εἶπεν οὐ τὴν φύσιν τοῦ πράγματος, ἀλλὰ τὴν προαίρεσιν τῶν ἀνθρώπων.

C^{c} 1. 2. 3 C^{la} 1. 3 C^{lc}; das gleiche im Vat. 358, wo Nr. 212 Z. 1—3 unmittelbar anschließt

216.

Matth. 10, 37

Ἀλλ' οὐδὲ λέγει· ὁ μὴ φιλῶν με ὑπὲρ πατέρα ἢ μητέρα ἢ υἱὸν ἢ θυγατέρα, ἀλλ' ὁ φιλῶν τούτους ὑπὲρ ἐμέ. καὶ ἐπεὶ τὸ πρὸς τούτους φίλτρον φυσικόν, κρεῖσσον δὲ τὸ ἐκ λόγου, τὸ πρὸς αὐτὸν ἡμῶν φίλτρον λόγῳ γίνεσθαι θέλει καὶ μὴ νικᾶσθαι ὑπὸ τοῦ φυσικοῦ. πρόσχες οὖν ἐνταῦθα, ὅπου σύγκρισις φίλτρου, οὐκ ὀνομάζεται γυνή. [ὁ δὲ Λουκᾶς τὸ μισεῖν ὀνομάσας ⟨λέγει· »εἴ τις οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν⟩ γυναῖκα καὶ τέκνα καὶ ⟨ἀδελφοὺς καὶ⟩ ἀδελφὰς ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής«. οὐχ ἁπλῶς δὲ μισῆσαι κελεύει (ἐπεὶ τοῦτο καὶ σφόδρα παράνομον). ἀλλ' ὅταν βούληται πλέον ἐμοῦ φιλεῖσθαι, μίσησον αὐτὸν κατὰ τοῦτο· τοῦτο γὰρ καὶ αὐτὸν τὸν φιλούμενον καὶ τὸν φιλοῦντα ἀπόλλυσιν.]

C^{a}; zu Z. 1—4 vgl. *Π* 116, 1—4. Dagegen ist Z. 5ff. Exzerpt aus Chrysostomus hom. 35 p. 399 C—400 A

1f Vgl. Hier. in Matth. 65 A: *non ergo prohibuit amari patrem aut matrem, sed signanter addidit: qui amat patrem aut matrem plus quam me* — **6f** Luc. 14, 26

1 *με ὑπὲρ*] zu str.? Kl, vgl. Hier. **3** *τὸ*[1] Hss. von *Π* *τοῦτο* C^{a} **6** ⟨*λέγει* — *τὴν*⟩ Kl nach Chrysost. **7** ⟨*ἀδελφοὺς καὶ*⟩ Diehl Kl, vgl. auch Chrysost.

217.

Matth. 10, 39

Ἁπλούστερον δὲ ἐπὶ μαρτύριον προτρέπει ὁ λόγος, τὰ μὲν πρῶτα ἀναφέρων ἐπὶ τοὺς ἀρνουμένους, εὑρίσκοντας μὲν τὴν ψυχὴν ὡς πρὸς τὸ παρόν, ἀπολλύντας δὲ ὡς πρὸς τὸ μέλλον, τὰ δὲ ἑξῆς ἐπὶ τοὺς μάρτυρας, ἀπολλύντας μὲν τὸ νῦν ζῆν τῷ »μέχρις αἵματος ἀντικαθίστασθαι πρὸς τὴν ἁμαρτίαν«, εὑρίσκοντας δὲ ἐν τῷ μέλλοντι αἰῶνι, ἔνθα »ἡ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ«.

C^{a} C^{b} C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc}

4f Vgl. Hebr. 12, 4 — **5** Kol. 3, 3

1 *ἁπλούστερον δὲ*] *ἄλλος φησί* C^{a} **1** *τὰ* — **6** *θεῷ*] *σὺ δὲ ζήτει ταῦτα εἰς τὸν Μᾶρκον* C^{b}

218.

Matth. 10, 40. 41

Κατὰ ἀναγωγὴν δέ· ὁ κυρίως ἐκλαβὼν βούλημα ἀποστόλου γραφῆς καὶ μὴ παρεκδεχόμενος, ἀπόστολον δέχεται καὶ τὸν λαλοῦντα καὶ ζῶντα ἐν αὐτῷ Χριστόν, οὗ ἔχει καὶ τὰ μαθήματα. καὶ ἐπεὶ ὁ πατρικὸς τοῦ θεοῦ νοῦς ἐστιν ἐν τῷ υἱῷ, ὁ δεχόμενος λόγον »σοφίας« καὶ πάντα ἅ ἐστι Χριστὸς δέχεται τὸν τῶν ὅλων πατέρα θεόν. τὰ πρῶτα ἐπὶ τὴν νέαν διαθήκην ἄναγε, ταῦτα ἐπὶ τὴν παλαιάν. ὁ γὰρ φρονῶν περὶ τῶν προφητῶν μὴ ὡς ἀπὸ ἰδίου νοῦ συνετῶς λαλούντων, ὡς δὲ θείῳ πνεύματι κινουμένων, τὸν ἐν αὐτοῖς νοῦν καὶ ἀποδεχόμενος, ἔχων πνεῦμα προφητικὸν εὐλόγως μισθὸν προφήτου λαμβάνει. καὶ ὃς συνιστᾷ περὶ δικαίων καὶ ἀδίκων, οὐκ ἂν ἀδίκως βιούς, δεχόμενος δίκαιον οὐ μόνον φιλόξενος, εἰ δὲ δίκαιος, μισθὸν δικαίου λαμβάνει.

C[v]

2f Vgl. II. Kor. 13, 3 — 4 Vgl. I. Kor. 12, 8 — 5—9 Vgl. Hier. in Matth. 65 D: *qui prophetam recipit ut prophetam et intellegit eum de futuris loquentem, hic mercedem prophetae accipiet*

1 *ἐκλαβὼν* Kl *ἐκβαλὼν* C[v] 7 *λαλούντων — κινουμένων* Kl *λαλοῦντα — κινούμενον* C[v] 8 *καὶ*] l. *κῦ* (vgl. I. Kor. 2, 16)? Kl 10 *φιλοξένως, ὡς δὲ δίκαιον*? Kl

219.

Matth. 10, 42

Ὁ μὲν γὰρ μεγαλυνθεὶς ἐν ἀρετῇ τὸ κρεῖττον ἢ τὸ εὐχαριστημένον ὑπὸ Ἰησοῦ πίνει ποτήριον, ὁ δ' ἔτι μικρὸς καὶ νήπιος »ἐν Χριστῷ« ὡς ποιμαινόμενος »ὕδατος ἀναπαύσεως« δεῖται. τάχα δὲ καὶ οἱ μικροὶ μὲν ὥσπερ ὕδωρ οὕτω καὶ ψυχρὸν πίνουσιν, οἱ δὲ »ζέοντες τῷ πνεύματι« θερμόν, οὐδέτεροι δὲ τὸ ψεκτὸν χλιαρόν. ἵνα δὲ μὴ τὸ ἀποστολικὸν ἀξίωμα καταφρονῇ τῆς τῶν μικρῶν διδασκαλίας, καὶ τούτων φροντίζων ὁ Ἰησοῦς τελευταίαν τοῖς ἀποστόλοις περὶ αὐτοῦ καὶ ἐσχάτην τὴν περὶ τῶν ἐσχάτων δίδωσιν ἐντολήν, τὴν ἐν αὐτῷ αὔξην οὐκ ἐμποδίζων.

Coisl. 20: es geht noch voran: *τοῦτο δὲ εἶπεν, ἵνα μηδὲ τοῖς πένησι λείπηται ἀπολογία* (vgl. Chrysostomus hom. 35 p. 401 B). *ἄλλως*

2 Vgl. Matth. 26, 27 — 2 Vgl. I. Kor. 3, 1 — 2f Vgl. Ps. 22, 1. 2 — 4f Vgl. Röm. 12, 11 — 5 Vgl. Apoc. 3, 16

220 I.

Matth. 11, 2. 3

῎Ηδη μὲν (φησὶ) ἐλήλυθας καὶ πεπληροφόρημαι, καὶ οὐ περὶ τούτου ἀπορῶ. ἀλλ᾽ ἐπειδὴ ἐν φυλακῇ τυγχάνων οἶδα τεθνήξεσθαι ἀναμφιβόλως καὶ πρόδρομός τινος κρείττονος ἀπελεύσεσθαι εἰς τὸ τῶν ψυχῶν χωρίον, μαθεῖν διὰ τῶν μαθητῶν μου βούλομαι, πότερον σὺ εἶ ὁ ἐρχόμενος ⟨κἀκεῖ⟩ ἢ ἕτερον εἰς τοῦτο ἐγὼ καὶ αἱ λοιπαὶ ψυχαὶ προσδοκῶμεν.

C[a]; vgl. *Π* 118, 2—7 und Nr. 220 II

1ff Vgl. Hier. ep. ad Algasiam 121, 1 (CSEL 56, 13ff.): *scio quod ipse sis, qui tollere venisti peccata mundi; sed quia ad inferos descensurus sum, etiam hoc interrogo, utrum et illuc ipse descendas* etc. Vgl. Hier. in Matth. 67 D: *manda mihi, quia ad inferna descensurus sum, utrum te et inferis debeam nuntiare* etc.; Grundstelle bei Origenes s. zu Nr. 220 II. *N* 390 schreibt diese Auffassung *τινές*, daneben dem Theologen Gregorius zu, während Chrysostomus sie ablehne: s. hom. 36 p. 409 D (vgl. auch *Π* 118, 8. 119, 2)

5 ⟨*κἀκεῖ*⟩ Kl nach *Π*

220 II.

Matth. 11, 2. 3

	῾Η τοῦ ᾽Ιωάννου ἐρώτησις οὐκ αὐτοῦ μόνου ἦν χάριν, ἀλλὰ καὶ τῶν ἀποσταλέντων. οἱ μὲν γὰρ ἀποσταλέντες ἔχρῃζον μαθεῖν, εἰ αὐτὸς ἦν ὁ ἐλθών.
[*῞Οτι μὲν γὰρ αὐτὸς ἦν, ᾔδει ὁ ᾽Ιωάννης, διδάσκων δὲ τοὺς ἰδίους μαθητὰς οὐκ ἔπειθεν, ἀλλ᾽ ἐδόκουν ταπεινοφρονεῖν αὐτόν. διὰ τοῦτο δύο μόνους ἀπέστειλεν, οὓς ᾔδει εὐπειθεστέρους, ἵνα μαρτυρήσαντες καὶ τοὺς ἄλλους πείσωσιν.*]	[*τοῦτο δὲ ὁ ᾽Ιωάννης ἐγίνωσκε, καὶ διδάσκων τοὺς ἰδίους μαθητὰς ἴσως οὐκ ἔπειθεν· ἐδόκουν δὲ ταπεινοφρονεῖν αὐτόν.*]
	περὶ δὲ τοῦ, εἰ αὐτὸς μέλλει ἔρχεσθαι, ἔχρῃζεν ὁ ᾽Ιωάννης μαθεῖν, ἔρχεσθαι δὲ ἐν τοῖς κάτω, ἔνθα ηὐτρέπιστο πορεύεσθαι ὁ ᾽Ιωάννης.
C[b] C[lb] 1. 5 C[lc] (f. 88b)	C[c] 1. 2. 3 C[lc] (f. 87b)

6—11 Aus Chrysostomus hom. 36 p. 408 C 408 D — **13ff** Vgl. Orig. hom. de engastrimytho 7 (Or. III 291, 23): *ἀμφέβαλλεν καὶ τάχα ἠπίστει, εἰ ὁ οὕτως ἔνδοξος καὶ μέχρις ᾅδου . . . κατελεύσεται* usw. — **10** Vgl. Luc. 7, 18 (*δύο* für *διὰ* des Matthäus)

221.
Matth. 11, 7. 8

Κάλαμός ἐστιν ⟨ὁ⟩ εὐμετάβολος καὶ τρεπτὸς ἄνθρωπος πάσῃ κινήσει περιφερόμενος. ἐν μαλακοῖς ἱματίοις ἠμφίεσται ὁ τὸν τρυφερὸν καὶ ἔκλυτον καὶ πρὸς ἀρετὴν ἀνεπιτήδειον βίον ἔχων. ἐν τούτοις ὁ Ἰησοῦς τοὺς ἀκούσαντας τῆς περὶ αὐτοῦ πρῴην μαρτυρίας Ἰωάννου καὶ τῆς νῦν ἀποκρίσεως διδάσκει, μὴ κατὰ τροπὴν τὸν Ἰωάννην ἐρωτῶντα, ἀλλὰ διδασκαλίαν οἰκονομοῦντα.

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc}

4 Vgl. Matth. 3, 11 Parr. Joh. 1, 29f — 5 Vgl. Matth. 11, 2

1 ⟨ὁ⟩ Kl

222.
Matth. 11, 10

[*Πρότερον τὴν τῶν Ἰουδαίων μαρτυρίαν θεὶς ὁ κύριος τότε τὴν τῶν προφητῶν ἐφαρμόζει· μᾶλλον δὲ μετὰ τὴν Ἰουδαϊκὴν μαρτυρίαν τὸν βίον τὸν τοῦ ἀνδρός, τρίτον τὴν θανάτου κρίσιν, τέταρτον τὸν προφήτην, πανταχόθεν αὐτοὺς ἐπιστομίζων.*]

C^{c} 1. 2. 3 C^{lc}: zu Z. 1f vgl. *Π* 121, 17. In der Tat ist dies Chrysostomus hom. 37 p. 415 DE, vgl. auch C^{a} unter *τοῦ αὐτοῦ = Χρυσοστόμου*

223.
Matth. 11, 11

[*Ἀντὶ τοῦ· οὐκ ἔτεκε γυνὴ τούτου μείζονα. εἰ δὲ ἐπαινεῖ τὸν Ἰωάννην, ἀλλ' ἑαυτὸν ὑπεξαιρεῖ ὡς μείζονα αὐτοῦ. εἰ γὰρ καὶ ἀμφότεροι ἐκ γυναικὸς ἐτέχθησαν, ἀλλ' ὁ μὲν ψιλὸς ἄνθρωπος, ὁ δὲ θεός. καὶ οὐδὲ ὁμοίως αὐτῷ ἐτέχθη ὁ Ἰωάννης, ἀλλὰ ξένον τινὰ καὶ παράδοξον ἐκ παρθένου τόκον ἔσχε. τὸ δὲ ὁ μικρότερος ἑαυτόν φησι τὸν μεταγενέστερον τὸ κατὰ σάρκα, οἰκονομικῶς δὲ μείζονα αὐτοῦ ὠνόμασεν αὐτόν, ἐπείπερ πολλοὶ ὡς μέγαν τινὰ εἶχον τὸν Ἰωάννην.*]

[*Μικρότερον δὲ ἑαυτὸν λέγει οὐ μόνον κατὰ τὴν ἡλικίαν ἀλλὰ καὶ κατὰ τὴν πολλῶν δόξαν· καὶ γὰρ ἔλεγον αὐτὸν φάγον καὶ οἰνοπότην. ταῦτα δὲ εἶπεν οὐχ ὅτι κατὰ σύγκρισιν τοῦ Ἰωάννου μείζων ἦν, ἄπαγε (καὶ γὰρ ἐκ περισσοῦ τούτου μείζων ἦν), ἀλλ' οἰκονομικῶς διὰ τὴν τῶν πολλῶν ἀσθένειαν συγκαταβαίνει τοῖς ῥήμασιν.*]

C^{c} 3 C^{lc}; dagegen in C^{c} 1. 2 Z. 1—7 (und danach Cramer I 64, 27ff) unter Chrysostomus, Z. 8—12 unter *τοῦ αὐτοῦ = Χρυσοστόμου*, und es ist wirklich Chrysostomus hom. 37 p. 416 B 417 BC 416 DE. Zu Z. 1—4 vgl. auch *N* 395; zu Z. 1f vgl. Nr. 224 Z. 1f

9 Vgl. Matth. 11, 19

224.

Matth. 11, 11

[*Φασὶ τὸ μικρότερος περὶ ἑαυτοῦ λέγειν τὸν Χριστόν, μικρότερος δὲ κατὰ τὴν δόκησιν τῶν ἀκουόντων. τὸ δὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν δηλοῖ τὸ ἐν τοῖς πνευματικοῖς καὶ ἐν τοῖς κατ' οὐρανὸν ἅπασιν*] *καὶ θεϊκοῖς μείζονα ὑπάρχειν ἐκείνου τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν. οὕτως δὲ ἀναγνωσόμεθα· ὁ δὲ μικρότερος, καὶ μέχρι τούτου στήσαντες τὸν λόγον ἐποίσομεν τὸ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν.*

C^{1a} 1 (bis *ἅπασιν* Z. 3). 2. 3 C^{1b} 1. 2. 3. 4. 5 C^{1c} C^{1d}; Z. 1—3 enthalten Sätze aus Chrysostomus hom. 37 p. 416 DE 417 B

1ff Vgl. Hier. in Matth. 69 E: *multi de salvatore hoc intellegi volunt, quod qui minor est tempore maior sit dignitate*

1 *μικρότερον* C^{1a} 1. 2 C^{1b} 5 C^{1c} 2 f. *τὸ — τὸ* < C^{1a} 1   5 f *καὶ μέχρι τούτου στήσαντες τὸν λόγον*] *εἶτα μικρὸν διαλιπόντες* C^{1d}

225.

Matth. 11, 11

Μείζων ὁ Ἰωάννης τῶν προφηῶν, ὅτι ἐκεῖνοι μὲν λόγῳ κατήγγελλον τὸ κήρυγμα τῆς παρουσίας, οὗτος δὲ ἐλειτούργησεν αὐτῇ ἔργῳ.

C^{1a} 1. 3; dagegen z. B. C^{1b} 5 mitten in einem *Ἀνεπίγραφος*-Scholion

226.

Matth. 11, 11

Ἡ βασιλεία τῶν οὐρανῶν αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς προτρεπόμενος πάντας εἰς μετάνοιαν καὶ ἕλκων εἰς ἑαυτὸν διὰ τῆς χάριτος.

C^{1a} 1. 2. 3 C^{1b} 1. 2. 4. 5 C^{1c} C^{1d}; vgl. dazu Nr. 38 I/II. 75

1 *ἡ* < C^{1a} 1 + *δὲ* C^{1d}

227.

Matth. 11, 12. 13

Ἡμέραι Ἰωάννου καὶ Ἰησοῦ οὐ χρόνῳ, τοιᾷδε δὲ καταστάσει ψυχῆς ἀκροατοῦ τῆς θείας γραφῆς νοοῦνται. τὸ δὲ ἄρτι δηλοῖ τὰς ἡμέρας Ἰησοῦ ἃς ὁ οα Ψαλμὸς οὕτως δεικνύει· »ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ«. ὁ οὖν προπαιδευόμενος, ἐπ' ἀρχὴν ἐλθὼν τῶν Ἰησοῦ λόγων, ἔτι τὴν τραχεῖαν καὶ ἀνάντη φαινομένην τοῖς εἰσαγομένοις βαδίζων ὁδὸν ἁρπάζει βίᾳ τὴν βασιλείαν τῶν οὐρανῶν, βίαν ὑπομένουσαν· οὐ γὰρ ἐνεργητικὸν νῦν τὸ βιάζεται, ἀντὶ δὲ παθητικοῦ εἴληπται. εἰ δὲ παραλαβὼν ὁ τέλειος λόγος τὸν ὑπὸ νόμῳ καὶ προφήταις παιδαγωγοῖς καὶ οἰκονόμοις ἐκδεχόμενον ἐλευθερίαν ἀποδίδωσιν αὐτῷ τὴν πατρικὴν κληρονομίαν, εἰκότως ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου.

C^a; Z. 4 ὁ — 8 εἴληπται auch C^v

3 Ps. 71, 7 — 8ff Vgl. Gal. 3, 23f

7 ἐνεργητικῶς C^v

228.

Matth. 11, 12

Βιασταί εἰσιν οἱ εἰλικρινῶς πιστεύοντες καὶ δι' ἄκρας ἀσκήσεως βιαζόμενοι.

C^{la} 1. 2. 3, dagegen z. B. in C^{lb} 1 (Heinrici 123 App.). 5 Schluß eines anonymen Scholions

1f Vgl. Hier. in Matth. 70 B: *grandis est enim violentia . . . possidere per virtutem, quod non tenuimus per naturam*

229.

Matth. 11, 13

Τοῦ νόμου καὶ τῶν προφητῶν ὁ σκοπὸς ἡ τῆς ἀνθρωπότητος ἴασις. ἔστι δὲ Χριστός, οὗ τὴν εἴσοδον Ἰωάννης ἐδακτυλοδείκτησεν.

C^{la} 1. 2. 3 C^{lb} 1. 5 C^{lc}

2 Vgl. Hier. in Matth. 70 C: *Christi tempus ostenditur, ut quem . . . Iohannes venisse ostenderit*

230.

Matth. 11, 13

Ἐν τῷ λέγειν τὸν σωτῆρα ὅτι ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου ἐπροφήτευσαν, ἔδειξεν ὅτι ἓν πνεῦμά ἐστι τὸ ἐν πᾶσιν καὶ τὸ αὐτὸ ἐν Ἰωάννῃ ἕως τοῦ σωτῆρος. ὁ γὰρ »λαλήσας« ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προφήταις »ἐρεῖ· πάρειμι«· οὐ γὰρ »ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας ἀλλὰ πληρῶσαι«. ἐλθόντος τοίνυν τοῦ πληρώσαντος (τουτέστι τοῦ βασιλέως) πάντα ἐτελειώθη, ὁ νόμος καὶ οἱ προφῆται.

C^{1a} 1. 2. 3 C^{1c}

3f Vgl. Hebr. 1, 1f — **4** Jes. 58, 9 — **4** Matth. 5, 17

5 *πληρώματος* C^{1a} 1

231.

Matth. 11, 16. 17

Οἱ ἐξεπίτηδες πρὸς τὴν ἀλήθειαν μαχόμενοι ἐλέγχονται κακουργοῦντες· οὐδὲ γὰρ ῥήμασιν ἀληθέσιν ἢ μαρτυρίαις ἰσχύουσι τὸ ἀληθὲς ἀνατρέψαι. διὸ κἂν ἑκατέροις ἐπιχειρήσωσιν, εἰς τὰς οἰκείας πλεκτάνας ἐμπίπτουσιν

C^{p}

3 l. *ἑκατέρως* ? Kl

232.

Matth. 11, 17

Τουτέστιν εὐφροσύνης καὶ βασιλείας οὐρανῶν μαθήματα παραδεδώκαμεν καὶ οὐ μετὰ χαρᾶς προσεδέξασθε, καὶ πάλιν ἠπειλήσαμεν ὑμῖν τὰ σκυθρωπὰ καὶ τὴν κόλασιν καὶ ἐπὶ ταῖς ἰδίαις ἁμαρτίαις οὐ μετενοήσατε.

C^{c} 1. 2. 3 C^{1c}

1 *καὶ* ⟨*ἡδύτητος*⟩ ? Diehl

Αὐλός ἐστιν ἡ χαρὰ τῆς ἡδύτητος τῆς βασιλείας τῶν οὐρανῶν. θρῆνός ἐστι τὰ ἠπειλημένα καὶ ἐπώδυνα τῆς γεέννης.

C^{1a} 1. 3 C^{1b} 1. 3. 4. 5 C^{1c}; vgl. C^{n} 404 unter *Νύσσης*

233.

Matth. 11, 18. 19

Μετάμελον γὰρ καὶ θρῆνον ἐδίδασκεν ἐπὶ τὸν βίον, ὃν κακῶς προέθεντο. ὁ δὲ κύριος ἦλθεν ἐσθίων καὶ πίνων· χαρᾶς γὰρ ἦν πάροχος, λύων τὰς ἁμαρτίας, καὶ εἰς ζωὴν αἰώνιον μετατιθεὶς τοὺς ἀκούοντας.

C^{lb} 1. 5 C^{lc} (auch Par. 203)

1 *μετάμελον γὰρ*] *ὁ μὲν γὰρ Ἰωάννης μετάμελον* Par. 203

234.

Matth. 11, 18. 19

[Τοῦτό ἐστιν· εἰ καὶ ὑμεῖς μὴ ἐπείσθητε, ἀλλ' ἐμοὶ λοιπὸν ἐγκαλεῖν οὐκ ἔχετε. ὃ περὶ τοῦ πατρός φησιν· »ὅπως δικαιωθῇς τοῖς λόγοις σου«· ὁ γὰρ θεός, κἂν μηδὲν ἀνύῃ πλέον ἀπὸ τῆς περὶ ἡμᾶς κηδεμονίας, τὰ ἑαυτοῦ πάντα πληροῖ, ὥστε τοῖς ἀναισχυντεῖν βουλομένοις μηδὲ σκιὰν καταλιπεῖν ἀγνώμονος ἀμφιβολίας. εἰ δὲ τὰ παραδείγματα εὐτελῆ καὶ κακέμφατα, μὴ θαυμάσῃς· πρὸς γὰρ τὴν ἀσθένειαν τῶν ἀκουόντων διελέγετο. ὁ δὲ Λουκᾶς καὶ ἕτερόν φησιν· »οἱ« γὰρ »τελῶναι ἐδικαίωσαν τὸν θεόν«, δεξάμενοι »τὸ βάπτισμα Ἰωάννου«.] ὅθεν τινὲς τὸ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς οὕτως ἐνόησαν· ἐδικαιώθη ἀπ' αὐτῶν ἀντὶ τοῦ ἀπεφάνθη πάντα δικαίως γεγενημένα. ἀφ' ὧν γὰρ ᾔνεσάν τινες, ἐδείκνυτο οὐκ ἀργῶς οὐδὲ μάτην πεπληρῶσθαι τὰ γεγενημένα· τοῦτο γὰρ τὸ δικαιῶσαι τὴν σοφίαν ⟨τὸ⟩ τοὺς οἰκείους αὐτῆς καθάπερ παῖδας ἀποδεδέχθαι τὴν παρουσίαν αὐτῆς.

C^{a} unter *Ιω ιβ* (Stücke auch im Par. 203); in der Tat entspricht Z. 1—8 *Ἰωάννου* meist wörtlich Chrysostomus hom. 37 p. 419 D—420 B, während eine Parallele zu Z. 9 *ἀντὶ* — 13 *αὐτῆς* in C^{lb} 1 anonym (Heinrici 125 App.), in C^{lb} 5 als Apollinaris-Scholion überliefert ist

2 Ps. 50, 6 — 7 Luc. 7, 29

10 *ὤνησέν τινας* C^{a} **11** *οὐδὲ* + *εἰκῇ καὶ* C^{lb} 1. 5 **12** ⟨*τὸ*⟩ C^{lb} 1. 5 | *ἀποδέχεσθαι* C^{lb} 1. 5 **13** *αὐτῆς*] danach ohne Übergang und Namen Nr. 236 C^{a}

235.
Matth. 11, 18. 19

Ὅτι τῷ μὲν Ἰωάννῃ ὡς οἰκέτῃ ἔπρεπε διὰ τῆς σκληραγωγίας νεκρῶσαι τὰ τῆς σαρκὸς πάθη, τῷ δὲ Χριστῷ ὡς τῇ δυνάμει τῆς θεότητος τὸν ἔμφυτον τῆς σαρκὸς νόμον κατέχοντι οὐ χρεία ἦν ἀσκήσεως. ἔτι ὁ μὲν Ἰωάννης βάπτισμα μετανοίας κηρύσσων τύπον ἑαυτὸν παρεῖχε διὰ τοῦ σκυθρωποῦ τοῖς ὀφείλουσι πενθεῖν, ὁ δὲ κύριος βασιλείαν οὐρανῶν κηρύσσων εἰκότως τὸ ἀνειμένον καὶ φαιδρὸν ἐπεδείκνυτο.

C[lc] (zu Z. 1—3 auch Par. 203); in C[n] 404 in einem Kyrill-Scholion; Sachparallele: Chrysostomus hom. 37 p. 419 C

4 Marc. 1, 4 — 5 Vgl. Matth. 4, 17

3 *ἀσκήσεως* + *εἰ γὰρ καὶ—ἀχαριστίας καταλιπών* (= Theodor von Mopsueste Heinrici 125 App.) Par. 203

236.
Matth. 11, 19

Ἀπὸ ἔργων κατὰ σοφίαν ἐπιτελουμένων δικαιοῦται μᾶλλον ἢ ἀπὸ λόγων σοφία.

C[a], auch Par. 203; dagegen in C[la] 1 unter *Ἀπολιν/*, in C[lb] 1. 5 als Schluß eines *Ἀνεπίγραφος*-Scholions (vgl. Heinrici 125 App.)

237.
Matth. 11, 19

	Ὁ Χριστὸς ἡ τοῦ θεοῦ σοφία
Καὶ ἐν τῇ σωτηρίᾳ τῶν σῳζομένων	*καὶ ἐκ τῶν τέκνων αὐτῆς (τουτέστι τῶν πιστῶν) ἐδικαιώθη ὡς σεσωσμένων ὑπ' αὐτοῦ,*
καὶ ἐν τῇ ἀπωλείᾳ τῶν ἀπολλυμένων ἡ σοφία ὁ Χριστός ἐστιν.	*καὶ ἐκ τῆς τῶν ἀπολλυμένων ἀπωλείας ὡς πάντα εἰπὼν καὶ πράξας καὶ διδάξας ἐκείνων μὴ δεξαμένων.*
C[b] C[la] 1. 3 C[lb] 1. 5 C[lc] (auch Par. 203)	C[p]

1. 7 Vgl. I. Kor. 1, 24 u. ö.

7 *ἐστιν* + *οἱ γὰρ πρὸς—σοφῶς γεγονότα* (= Theodor von Mopsueste, Heinrici 125 App.) Par. 203

238.

Matth. 11, 20

Ὀνειδισμὸς δέ ἐστιν πληγὴ λογικὴ ὑπομιμνήσκουσα ἁμαρτίας, μάλιστα τὸν ἀχάριστον καὶ ἀμνήμονα εὐποιΐας.

C^{v}

239.

Matth. 11, 25. 26

Τὴν ἐπὶ τὰ ἔθνη μετάβασιν τοῦ λόγου προορῶν διὰ τὴν τοῦ Ἰσραὴλ ἀπείθειαν ὑπὲρ ἡμῶν τῶν εὐεργετηθησομένων ὑμνεῖ καὶ δοξάζει τὸν πατέρα. εὐχαριστεῖ δὲ τῷ πατρὶ μὲν ἑαυτοῦ, κυρίῳ δὲ οὐρανοῦ καὶ γῆς συσχηματιζόμενος τοῖς δούλοις ὁ κύριος καὶ τὰς ὑπὲρ δούλων πρὸς δεσπότην ἀναφέρων εὐχαριστίας. λέγει δὲ κατὰ τὴν τοῦ πατρὸς εὐαρέστησιν κεκρύφθαι μὲν ἀπὸ Ἰσραὴλ τοῦ σοφοῦ ἔθνους τὸ κατ' αὐτὸν μυστήριον, τοῖς δὲ πρότερον ἀσυνέτοις ἔθνεσιν ἀποκαλυφθήσεσθαι. δι' ὧν ἀποδείκνυται, ὡς οὐ διέλαθεν θεὸν τὸ ἐσόμενον οὐδὲ ἀπέτυχεν ἡ Χριστοῦ παρουσία τοῦ προκειμένου σκοποῦ, ἀλλὰ προειδότος θεοῦ ταῦτα ἐγένετο καὶ προτεταχότος τὴν τῆς χάριτος μετάνοιαν. τὸ δὲ δίκαιον τῆς εὐδοκίας ἐνταῦθα παρασιωπᾶται, ἑτέρως δὲ δείκνυται· οὐ γὰρ ἄλογος εὐδοκία θεοῦ, οὐδ' ἑτέρως ἢ δι' ἑαυτοὺς ἀποτυγχάνουσι γνώσεως καὶ σοφίας ἄνθρωποι.

C^{a} unter ἄλλοι δέ φασι i. t., i. m. ΑΠ ωͦ, Z. 1—7 ἀποκαλυφθήσεσθαι auch C^{1b} 1. 2. 5 C^{1c}

2 Vgl. Röm. 11, 30

240.

Matth. 11, 25

»Ὁ ὑψῶν ἑαυτὸν« καὶ τῇ ἰδίᾳ θαρρῶν τελειότητι οὐκ ἐπιστρέφει πρὸς θεὸν οὐδὲ ζητεῖ παρ' αὐτοῦ λαβεῖν τὰ ἀγαθά, καὶ χωρίζει λοιπὸν ἑαυτὸν καὶ ἔρημος γίνεται τῆς τοῦ θεοῦ χάριτος. ὁ δὲ ταπεινοφρονῶν καὶ οἰόμενος μηδὲν ἔχειν πρὸς τὸν θεὸν ἐπιστρέφει καὶ ἐπιστρέφων ἑνοῦται αὐτῷ καὶ ἑνωθεὶς ἀπολαύει· καὶ γὰρ »ὁ αἰτῶν λαμβάνει«, »καὶ τῷ κρούοντι ἀνοιγήσεται«.

C^{p}

1 Vgl. Luc. 14, 11 — 5 Matth. 7, 8

241.

Matth. 11, 25

Ἐκ σοφῶν κρύπτεται, τῶν τὴν δευτέραν σοφίαν ἐχόντων. καὶ ὁ πατὴρ ἀντὶ τοῦ· καλῶς ὁ πατήρ.

C[c] 1. 2. 3 C[1c]

1f Vgl. Hier. in Matth. 74 A: *blandientis affectu loquitur ad patrem* — 1 zu *δευτέραν σοφίαν* vergleicht Völker Clem. Alex. Strom. VI 138, 2 (Cl. Al. II 502, 3): *ἡ πρώτη σοφία*

242.

Matth. 11, 27

Παρεδόθη αὐτῷ τὰ πάντα καθὼς καὶ αὐτὸς παρεδόθη »ὑπὲρ πάντων«, δῆλον δὲ ὅτι κατὰ τὸν τῆς οἰκονομίας λόγον. καὶ ὥσπερ ὁ πατὴρ λέγεται πεποιηκέναι τὰ πάντα, καίπερ διὰ τοῦ υἱοῦ πάντα ποιῶν, οὕτω καὶ λέγεται παραδιδόναι τῷ υἱῷ πάντα, αὐτὸν ἔχων δύναμιν καὶ δι᾽ αὐτοῦ κατάρχων τῶν ὅλων καὶ συνὼν αὐτῷ. [σημαίνει τὴν ὑπακοὴν τοῦ παντὸς κόσμου· ὅπερ καὶ διὰ τοῦ »νηπίοις« ἀπεκαλύφθη τὸ μυστήριον πρόδηλον. ἵνα γὰρ μή τις ὑπονοήσῃ ὅτι αὐτὸς ὡς μὴ δυνάμενος τοῦτο ποιῆσαι εὐχαριστεῖ ἐπὶ τῷ συμβάντι, τὸ πάντα μοι παρεδόθη φησί. διὰ τοῦτο δὲ εἶπεν ὑπὸ τοῦ πατρός μου, ἵνα μὴ δύο θεοὺς ἀγεννήτους νομίσῃς.]

C[la] 1. 3 (bis Z. 2 *λόγον*); dagegen C[lb] 1. 5 u. a. unter *Ἀνεπιγράφου*. Aber in dem Origenes-Scholion zu Luc. Nr. XXXVI, Z. 7—9 (Or. IX 250) findet sich ebenfalls der Anfang: *δικαιότατα δὲ πάντα παραδέδωκεν αὐτῷ ὁ πατήρ, ἐπεὶ και αὐτὸς ὁ υἱὸς παρεδόθη ὑπὲρ πάντων.* Dagegen entsprechen Z. 5—8 und besonders 8f Chrysostomus hom. 38 p. 427 A

1 Vgl. I. Tim. 2, 6 — 3 Vgl. Act. 4, 24 — Hebr. 1, 2? — 6f Vgl. Matth. 11, 25

5 *σημαίνει*] davor *τοῦ αὐτοῦ* C[1c] (wo Z. 1—5 *αὐτῷ* namenlos sind), am Schluß folgt unter neuem *τοῦ αὐτοῦ Π* 128, 1—16 *τὸ πάντα εἰπὼν — τὸ ἀνάπαλιν*

243.

Matth. 11, 27

*Κατὰ διαφόρους ἐπινοίας ἡ θεοῦ γνῶσις· κτίστου, ᾗ ἔκτισεν, κριτοῦ ⟨***⟩ ἀποκαλύψῃ οὐχ ἑτέρῳ ὄντι υἱῷ θεοῦ, ὃς λαβὼν ἐξουσίαν τέκνον γενέσθαι, ὅτε μὲν [ἔχει] οὐκ ἔγνω οὐκ ἔχει τὸν πατέρα, ὅτε δὲ γίνεται ἀποκαλύψαντος Ἰησοῦ ὡς ἀδελφῷ γνώσεται.*

C[a] unter *ΘΚΥ*, Rauer verweist auf eine anonyme Parallele im Petrus von Laodicea zum Lukas

2 Vgl. Joh. 1, 12

2 ⟨***⟩ Kl 3 [*ἔχει*] Kl

244.

Matth. 11, 27

(*Τὸ πάντα εἰπὼν*) *ἔδειξεν ὅτι οὐ μόνον Ἰουδαίων ἀλλὰ καὶ πάντων τῶν ἐθνῶν ἐχρημάτισε θεός.* [*ὅταν δὲ λέγῃ τὸ παρεδόθη, οὐ δεῖ ἀνθρώπινόν τι νοεῖν ἀλλ᾽ οἰκονομικῶς ὡς ἄνθρωπος λέγεται λαβεῖν πάντα, ὡς θεὸς δεσπόζων πάντων. ἐπειδὴ δὲ ἔδειξεν ὅτι πάντων ἐστὶ δεσπότης, δείκνυσι καὶ ἕτερον μεῖζον, τὸ εἰδέναι τὸν πατέρα καὶ τῆς αὐτῆς οὐσίας εἶναι· καὶ γὰρ τοῦτο λανθανόντως δείκνυσιν ἐκ τοῦ μόνος αὐτὸν οὗτος εἰδέναι. ὅταν γὰρ εἴπῃ ὅτι οὐδεὶς γινώσκει τὸν πατέρα εἰ μὴ ὁ υἱός, οὐ τοῦτό φησιν ὅτι πάντες αὐτὸν ἠγνόησαν, ἀλλ᾽ ὅτι τὴν γνῶσιν ἣν αὐτὸς οἶδεν οὐδεὶς αὐτῶν ἐπίσταται· οὐδὲ γὰρ περὶ ἀγνώστου θεοῦ καὶ μηδενὶ γνωρίμου τοῦτό φησιν, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν ἐνταῦθα αἰνισσόμενος, ἐπεὶ οὐδὲ τὸν υἱὸν ἴσμεν ὡς χρὴ εἰδέναι· τὴν γὰρ ἀκριβῆ γνῶσιν ἣν ἔχει περὶ ἑαυτῆς ἡ τριάς, οὐδεὶς οἶδεν. ἐπειδὴ δὲ ἄνω ἐπὶ τοῦ πατρὸς ἔταξε τὸ τῆς ἀποκαλύψεως, νῦν τῷ υἱῷ αὐτὸ προσάπτει, ἵνα γνῶμεν ὅτι κοινὰ τὰ τῆς θεότητος· διὰ γὰρ τούτου καὶ τοῦ ἀκαταλήπτου δηλοῦνται αὐτῶν οἱ ἰσότητες. ἕκαστος τοίνυν τῶν ἁγίων διὰ τοῦ ἐπιγνῶναι τὸν υἱὸν δέχεται τοῦ πατρὸς τὴν γνῶσιν καὶ τὸ ἀνάπαλιν*].

C^{1c} unter *τοῦ αὐτοῦ* (d. h. Origenes) hinter Nr. 242, aber z. B. C^{1b} 5 unter *τοῦ αὐτοῦ* = *Ἀνεπιγράφου*; vgl. *II* 128, 1—16. Jedenfalls aber sind mindestens Z. 2 *ὅταν* — 3 *νοεῖν*, Z. 4 *ἐπειδὴ* — 6 *εἰδέναι* und Z. 7 *ὅταν* — 11 *εἰδέναι* Chrysostomus' Eigentum, vgl. hom. 38 p. 427 A, 427 B und 427 DE, und von Z. 11—16 steht wenigstens Z. 11 f. in der Form *μόνη γὰρ ἡ θεία φύσις τῆς τριάδος ἑαυτὴν ἐπιγινώσκει* in C^{1b} 1. 5 in einem Kyrill-Scholion, vgl. MPG 72, 404 CD

12 f Vgl. Matth. 11, 25

2 *θεός*] *δεσπότης* C^{1b} 5 **5** *αὐτῆς*] *αὐτοῦ* C^{1b} 5

245.

Matth. 11, 28—30

Κόπος καὶ μέγιστον φορτίον ἡ ἁμαρτία, ὅτι παρὰ φύσιν. ἐλαφρὸς ὁ ὑπὲρ εὐσεβείας ἀγών, μεγίστην ἔχων ἀντίληψιν.

C^c 1. 2. 3 C^{1a} 3 C^{1c}

Ἐλαφρὸς ὁ ὑπὲρ εὐσεβείας ἀγών, μεγίστην ἔχων ἀντίληψιν.

C^{1a} 1 C^{1b} 1. 5

1 f Vgl. Hier. in Matth. 74 D: *gravia onera esse peccati*; allerdings gibt es auch bei Chrysostomus hom. 38 p. 429 B eine Parallele — **3 f** Vgl. I. Tim. 4, 7 f

246.

Matth. 11, 30

Χρηστὸς ὁ ζυγός, ἐπεὶ μή ἐστιν κολαστὴς ὡς ὁ νόμος· ἐλαφρὸν δὲ τὸ φορτίον, ἐπεὶ καὶ ἐν ἁπλοῖς ἐπιχειρήμασι καὶ εὐκόλοις ὁ τῆς μετανοίας ὑπογραμμός.

C[1a] 1. 3; C[p] hat unter *Κυρίλλου* (vgl. MPG 72, 405 B) *ἐλαφρός ἐστιν ὁ ζυγὸς τοῦ Χριστοῦ, ἐπεὶ οὐ κολάζει ἡμᾶς καθάπερ ὁ νόμος, τὸ ἀναμάρτητον ἀπαιτῶν καὶ ἀπαθές, ἀλλ' ἐν ἁπλοῖς ῥήμασιν ἔχει τὴν ἐπαγγελίαν καὶ τὸν τῆς ἀρετῆς ὑπογραμμόν.*

247.

Matth. 12, 1—3

[Εἰδὼς ὁ δεσπότης Χριστὸς ὡς προγνώστης τὸ τί ἔμελλον ποιεῖν οἱ μαθηταί, τούτου χάριν ἤγαγεν αὐτοὺς διὰ τῶν σπορίμων· καὶ ἐπειδὴ ἐβούλετο λυθῆναι τὸ σάββατον, δι' αἰτίας τοῦτο ποιεῖ. καὶ οὐδέποτε χωρὶς αἰτίας αὐτὸ λύει. ἀλλὰ διδοὺς προφάσεις εὐλόγους, ἵνα καὶ τὸν νόμον ἀναπαύσῃ καὶ τοὺς Ἰουδαίους μὴ πλήξῃ, εἴγε συνιέναι ἤθελον. ὃ δὴ καὶ ἐνταῦθα κατασκευάζει, τὴν τῆς φύσεως ἀνάγκην προβαλλόμενος, τὴν πεῖναν. χρὴ δὲ θαυμάζειν καὶ τῶν μαθητῶν τὴν ὑπομονήν, μηδένα τῶν σωματικῶν ποιουμένους λόγον, ἀλλὰ πάρεργον τιθεμένους τὴν τῆς σαρκὸς τράπεζαν καὶ λιμῷ μαχομένους διηνεκεῖ καὶ οὐδὲ οὕτως ἀφισταμένους. εἰ μὴ γὰρ ἠνάγκαζεν αὐτοὺς σφόδρα τὸ πεινᾶν, ⟨οὐκ ἂν⟩ οὐδὲ τοῦτο ἐποίουν. διατί; ὅτε μὲν ἔτιλλον τοὺς στάχυας οἱ ἀπόστολοι, οὐ πάνυ σφοδρῶς οἱ Φαρισαῖοι παρωξύνθησαν· καίτοι μᾶλλον πρὸς τὴν γνώμην αὐτῶν τὴν σκληρὰν ἀκόλουθον ἦν. ὅτε δὲ τὴν »χεῖρα« τὴν »ξηρὰν« ἰάσατο, τότε οὕτως ἐξεθηριώθησαν, ὥστε καὶ ἐπὶ σφαγῆς αὐτοὺς βουλεύεσθαι καὶ ἀναιρέσεως. ἐπειδὴ ἐκεῖ μὲν οὐδὲν γέγονε μέγα καὶ γενναῖον, καὶ διὰ τοῦτο σφοδρῶς ἐταράχθησαν· ἐνταῦθα δὲ ἐπειδὴ εἶδόν τινας διὰ τὸ θαῦμα σῳζομένους, διὰ τοῦτο ἀγριαίνονται καὶ ταράττονται. παράγει δὲ τὸν Δαβὶδ εἰς τὸ μέσον, ἐπειδὴ πολλὴ τοῦ προφήτου ἦν ἡ δόξα.]

C[c] 2; dagegen unter *τοῦ Χρυσοστόμου* C[c] 1. 3 (auch „cod. B" bei Cramer 484. 1 f) C[1c]: es entspricht im Ganzen Chrysostomus hom. 39 p. 431 D—432 C

13 f Vgl. Matth. 12, 10. 14

10 ⟨*οὐκ ἂν*⟩ Diehl Kl nach Chrysost.

248.

Matth. 12, 6

Εἰ ὑπὲρ τὴν ἐντολὴν ἐδείκνυτο τὸ ἱερόν, ἄρα ὑπὲρ τὸν νόμον ἦν ὁ Χριστός.

C[c] 1. 2. 3 C[1c]

1 *νόμον — Χριστός*] *προφήτην ἦν ἡ δόξα* C[c] 3

249.

Matth. 12, 9. 10

Τὸ μεταβὰς ἐκεῖθεν τοῦτο δηλοῖ· ὅτε διατίθησι διαθήκην καινὴν καὶ τὸ σάββατον δυνάμει παύει, τότε μεταβαίνει, ὅθεν αὐτοῦ καὶ τῶν μαθητῶν κατηγοροῦσιν, οὐκ ἔξω ἀλλ' εἰς τὴν συναγωγήν, ἵνα τελείως αὐτῶν πληρωθῶσιν αἱ ἁμαρτίαι. τὴν ἀκαρπίαν δὲ τῶν χειρῶν προσήνεγκαν τῷ σωτῆρι· τὸ γὰρ ξηρὰν ἔχειν τὴν χεῖρα τὴν ἀκαρπίαν ἔδειξεν. τὸ δὲ ξηρὸν ἐγγὺς ἐκριζώσεώς ἐστιν.

C^{1a} 1. 2. 3 C^{1c} (C^{1c} bis Z. 5 *ἔδειξεν*)

1 Vgl. Nr. 250, Z. 3f — 1ff Vgl. Hier. in Matth. 77 A: *et notandum, quod non in itinere et foris, sed in conciliabulo Iudaeorum manus arida fuerit*

250.

Matth. 12, 9—15

Εἰ »κύριός« ἐστιν »τοῦ σαββάτου« ὁ »υἱὸς τοῦ ἀνθρώπου« ἑαυτὸν λέγων καὶ βασιλεύς, ἔξεστι τῷ βασιλεῖ ποτὲ μὲν περὶ σαββάτου νομοθετεῖν, ποτὲ δὲ καὶ παύειν τὸ σάββατον μετὰ τῶν θυσιῶν καὶ ὁλοκαυτωμάτων καὶ τῆς λοιπῆς λειτουργίας τοῦ ἱεροῦ, καινὴν διαθήκην νομοθετοῦντι. [διὰ τοῦ παραδείγματος τούτου συλλογιζόμενος αὐτούς, ὅπως μὴ ἔχωσι πρόφασιν ἀναισχυντίας, εἰς τὸ πάλιν ἐγκαλεῖν αὐτῷ διὰ τὴν θεραπείαν· καὶ τότε εἰπὼν τῷ ἀνθρώπῳ ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐξέτεινε, καὶ ἀπεκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη· ἐκεῖνοι δὲ οὐδὲ ἀδικηθέντες ἐξέρχονται καὶ βουλεύονται, ἵνα »ἀνέλωσιν« αὐτόν· τοσοῦτον ἡ βασκανία κακόν. ὁ δὲ ἥμερος καὶ πρᾶος ἀνεχώρησε ταῦτα μαθών. ἠκολούθησαν δὲ αὐτῷ ὄχλοι πολλοί, διατί; θαυμάζοντες αὐτόν, ἐκεῖνοι δὲ τῆς πονηρᾶς οὐκ ἀφίσταντο γνώμης.]

Z. 1—4 C^a (unter: *ἢ καὶ οὕτως*, i. m. ϖ) C^c 1. 3 C^{1c}; Z. 1—12 C^c 2; doch ist Z. 4—12 Exzerpt aus Chrysostomus hom. 40 p. 437 E—439 A

1f Vgl. Matth. 12, 8 — 4 Vgl. Nr. 249 Z. 1 — 9 Vgl. Luc. 22, 2

1 l. wohl *υἱὸν* Kl

251.

Matth. 12, 9—13

Τὸ θαυμαστὸν δὲ τοῦ σωτῆρος ἐδείκνυτο, ὅτι τὸ ἀπηγορευμένον καὶ νεκρὸν ἐζῳοποίησε. καὶ πάλιν αὐτῷ προσήνεγκαν, δυνάμει κωλύοντες

C^a

2 Vgl. Matth. 12, 22 *προσήνεγκαν* var. lect.

1 *Τὸ*] hier Anfang, oder Z. 2 *καὶ πάλιν* ? 2 *πάλιν* C^a *τοῦτον* C^{1b} 1. 5 in einem anonymen Scholion

αὐτὸν θεραπεῦσαι αὐτόν, ἵνα ἀπιστῆσαι ποιήσωσί τινας, ὡς μὴ δυνηθέντος αὐτὸν θεραπεῦσαι ἤ, εἰ ἐθεράπευσεν, ἵνα κατηγορήσωσιν. εἰδὼς δὲ ὁ Ἰησοῦς »αὐτῶν τὰς ἐνθυμήσεις« λέγει αὐτοῖς τὸ περὶ τῶν ἄλλων ζῴων πρόβλημα.

4f Vgl. Matth. 12, 25

3 *ἵνα* Kl (vgl. Z. 4) *καὶ* C[a]

252.
Matth. 12, 14—16

Ὅσῳ τις ἐγγίζει τῷ Ἰησοῦ συμβούλιον οὐ λαμβάνει· οὐ γὰρ ἐγγίζει τῷ Ἰησοῦ ὁ σύμβουλος τῶν κακῶν. ἀλλ' ὅτε τις τοῦ Ἰησοῦ ἐξέρχεται ἔξω, συμβούλιον λαμβάνει τοῦ ἀπολέσαι τὸν Ἰησοῦν, τὸ φῶς, τὴν ὁδὸν τὴν ἀγαθήν, τὴν ζωήν, τὸν θησαυρόν, τὸν μαργαρίτην, τὴν ἀγάπην, τὴν εἰρήνην. τοῦτον ἄν τις ἀπολέσῃ, »υἱὸς ἀπωλείας« καλεῖται. ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν· οὐκ ἔδει γὰρ αὐτὸν μένειν μετὰ τῶν υἱῶν »τῆς ἀπωλείας«. ἐκεῖνοι ἀπώλεσαν, ἡμεῖς μὴ ζητήσαντες εὕρομεν· »εὑρέθην« γὰρ »τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν«. αὐτὸς γὰρ ἦλθεν »ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ«, αὐτοὶ δὲ ἐπελάθοντο τοῦ ἰδίου ποιμένος. καὶ ἀναχωρεῖ οὐ δεδιὼς τὴν ἐπιβουλήν, ἀλλὰ τὴν κακίαν ἀναστέλλων· καὶ ἵνα μή τις οἰηθείη διὰ δειλίαν αὐτὸν ἀνακεχωρηκέναι, πάντας ἐθεράπευσε τὴν παναλκῆ αὐτοῦ ἐνδεικνύμενος δύναμιν. πλὴν ὑποστέλλει μὴ δημοσιεύεσθαι ὡς ἐπιεικὴς καὶ ἀκενόδοξος.

C[b] (von Z. 6 *οὐκ* — 10 *ποιμένος*) C[la] 1. 2. 3 (C[la] 1. 2. 3 bis Z. 10 *ποιμένος*) C[lb] 1. 2. (C[lb] 2 wie C[la]) 3. 4 (C[lb] 4 mit anderem Schluß, vgl. *Π* 133, 2). 5 C[lc] C[ld] (in C[ld] Z. 10 *καὶ* — 13 *ἀκενόδοξος* anonym angeschlossen) C[v] (bis Z. 5 *καλεῖται*)

5f Joh. 17, 12 — 7 Jes. 65, 1 — 9 Matth. 10, 6

253.
Matth. 12, 15

Εὑρέθησαν οἱ ἀσθενοῦντες ὁλόκληροι καὶ οἱ δοκοῦντες ὁλόκληροι ἠσθένησαν· ἀπώλεσαν γὰρ αὐτῶν τὸν ἰατρόν. διὸ λέγει· »ἄφετε αὐτούς, τυφλοί εἰσιν«. ὅθεν Ἡσαΐας ἐβόα λέγων· »οἱ τυφλοὶ ἀναβλέψατε καὶ οἱ κωφοὶ ἀκούσατε.«

C[la] 1. 3; dagegen z. B. anonym in C[lb] 1. 5 C[lc] (wo *ἐπειδὴ οὔτε διὰ* — *ταῦτα ἐποίει* = *Π* 132, 3—133, 7 angeschlossen ist)

2 Matth. 15, 14 — 3 Jes. 42, 18

254.
Matth. 12, 18—21

